ANTHOLOGIA GRÆCA

SIVE

DELECTVS POESIS ELEGIACÆ MELICÆ BVCOLICÆ.

SCHOLARVM IN VSVM

ADORNAVIT

NICOLAVS BACHIVS

PHILOSOPHIÆ DOCTOR ET GYMNASII FVLDENSIS DIRECTOR.

HANNOVERÆ 1838.

IN LIBRARIA AVLICA HAHNIANA.

ΕΛΕΓΕΙΑ.

ΚΑΛΛΙΝΟΥ ΕΦΕΣΙΟΥ.

Μέχρις τεῦ κατάκεισθε; κότ' ἄλκιμον ἕξετε θυμόν,
ὦ νέοι; οὐδ' αἰδεῖσθ' ἀμφιπερικτίονας
ὧδε λίην μεθιέντες, ἐν εἰρήνῃ δὲ δοκεῖτε
ἧσθαι, ἀτὰρ πόλεμος γαῖαν ἅπασαν ἔχει;
. . . .
καί τις ἀποθνήσκων ὕστατ' ἀκοντισάτω.
τιμῆέν τε γάρ ἐστι καὶ ἀγλαὸν ἀνδρὶ μάχεσθαι
γῆς πέρι καὶ παίδων κουριδίης τ' ἀλόχου
δυςμενέσιν. θάνατος δὲ τοτ' ἔσσεται, ὁππότε κεν δὴ
Μοῖραι ἐπικλώσωσ'. ἀλλά τις ἰθὺς ἴτω
ἔγχος ἀνασχόμενος καὶ ὑπ' ἀσπίδος ἄλκιμον ἦτορ
ἔλσας τὸ πρῶτον μιγνυμένου πολέμου.
οὐ γάρ πως θάνατόν γε φυγεῖν εἱμαρμένον ἐστὶν
ἀνδρ' οὐδ' εἰ προγόνων ᾖ γένος ἀθανάτων.
πολλάκι δηιοτῆτα φυγὼν καὶ δοῦπον ἀκόντων
ἔρχεται, ἐν δ' οἴκῳ μοῖρα κίχεν θανάτου.
ἀλλ' ὁ μὲν οὐκ ἔμπης δήμῳ φίλος οὐδὲ ποθεινός,
τὸν δ' ὀλίγος στενάχει καὶ μέγας ἤν τι πάθῃ.
λαῷ γὰρ σύμπαντι πόθος κρατερόφρονος ἀνδρὸς
θνήσκοντος, ζώων δ' ἄξιος ἡμιθέων.
ὥςπερ γάρ μιν πύργον ἐν ὀφθαλμοῖσιν ὁρῶσιν·
ἔρδει γὰρ πολλῶν ἄξια μοῦνος ἐών.

ΑΡΧΙΛΟΧΟΥ ΠΑΡΙΟΥ.

Πολλὰ δ' ἐϋπλοκάμου πολιῆς Ἁλὸς ἐν πελάγεσσιν
θεσσάμενοι γλυκερὸν νόστον. . . . . . .
. . . .

εἰ κείνου κεφαλὴν καὶ χαρίεντα μέλεα
Ἥφαιστος καθαροῖσιν ἐν εἵμασιν ἀμφεπονήθη.

. . . .

κρυπτομένοις ἀνιηρὰ Ποσειδάωνος ἄνακτος
δῶρα . . . .

. . . .

κήδεα μὲν στονόεντα, Περίκλεες, οὔτε τις ἀστῶν
μεμφόμενος θαλίῃς τέρψεται οὔτε πόλις.
τοίους γὰρ κατὰ κῦμα πολυφλοίσβοιο θαλάσσης
ἔκλυσεν, οἰδαλέους δ' ἴσχομεν ἀμφ' ὀδύνῃ
πνεύμονας· ἀλλὰ θεοὶ γὰρ ἀνηκέστοισι κακοῖσιν,
ὦ φίλ', ἐπὶ κρατερὴν τλημοσύνην ἔθεσαν
φάρμακον . . . .
⏑⏑ ἄλλοτε δ' ἄλλος ἔχει τόδε. νῦν μὲν ἐς ἡμέας
ἐτράπετ', αἱματόεν δ' ἕλκος ἀναστένομεν·
ἐξαῦτις δ' ἑτέρους ἐπαμείψεται. ἀλλὰ τάχιστα
τλῆτε γυναικεῖον πένθος ἀπωσάμενοι.

. . . .

οὔτε τι γὰρ κλαίων ἰήσομαι, οὔτε κάκιον
θήσω τερπωλὰς καὶ θαλίας ἐφέπων.

. . . .

πάντα τύχη καὶ μοῖρα, Περίκλεες, ἀνδρὶ δίδωσιν.

ΑΣΙΟΥ ΣΑΜΙΟΥ.

Χωλὸς, στιγματίης, πολυγήραος, ἶσος ἀλήτῃ
ἦλθεν Κνισοκόλαξ, εὖτε Μέλης ἐγάμει,
ἄκλητος, ζωμοῦ κεχρημένος, ἐν δὲ μέσοισιν
ἥρως εἱστήκει βορβόρου ἐξαναδύς.

ΤΥΡΤΑΙΟΥ ΑΦΙΔΝΑΙΟΥ.

ΕΥΝΟΜΙΑΣ.

Αὐτὸς γὰρ Κρονίων, καλλιστεφάνου πόσις Ἥρης,
Ζεὺς Ἡρακλείδαις τήνδε δέδωκε πόλιν,
οἷσιν ἅμα προλιπόντες Ἐρινεὸν ἠνεμόεντα
εὐρεῖαν Πέλοπος νῆσον ἀφικόμεθα.

. . . .

Φοίβου ἀκούσαντες Πυθωνόθεν οἴκαδ' ἔνεικαν
μαντείας τε θεοῦ καὶ τελέεντ' ἔπεα·
ὧδε γὰρ ἀργυρότοξος ἄναξ ἑκάεργος Ἀπόλλων
χρυσοκόμης ἔχρη πίονος ἐξ ἀδύτου,
ἄρχειν μὲν βουλῆς θεοτιμήτους βασιλῆας,
οἷσι μέλει Σπάρτης ἱμερόεσσα πόλις,
πρεσβυγενεῖς δὲ γέροντας, ἔπειτα δὲ δημότας ἄνδρας
εὐθείην ῥήτρην ἀνταπαμειβομένους
μυθεῖσθαί τε τὰ καλὰ καὶ ἔρδειν πάντα δίκαια
μηδέ τι βουλεύειν τῇδε πόλει σκολιόν,
δήμου τε πλήθει νίκην καὶ κάρτος ἕπεσθαι.
Φοῖβος γὰρ περὶ τῶν ὧδ' ἀπέφηνε πόλει.

. . . .

ἡμετέρῳ βασιλῆι, θεοῖσι φίλῳ Θεοπόμπῳ,
ὃν διὰ Μεσσήνην εἵλομεν εὐρύχορον,
Μεσσήνην, ἀγαθὴν μὲν ἀροῦν, ἀγαθὴν δὲ φυτεύειν.

. . . .

ἀμφ' αὐτὴν δ' ἐμάχοντ' ἐννέα καὶ δέκ' ἔτη
νωλεμέως αἰεὶ ταλασίφρονα θυμὸν ἔχοντες
αἰχμηταὶ πατέρων ἡμετέρων πατέρες.
εἰκοστῷ δ' οἱ μὲν κατὰ πίονα ἔργα λιπόντες
φεῦγον Ἰθωμαίων ἐκ μεγάλων ὀρέων.

. . . .

ὥςπερ ὄνοι μεγάλοις ἄχθεσι τειρόμενοι,
δεσποσύνοισι φέροντες ἀναγκαίης ὕπο λυγρῆς
ἥμισυ πᾶν ὅσσον καρπὸν ἄρουρα φέρει.

. . . .
δεσπότας οἰμώζοντες ὁμῶς ἄλοχοί τε καὶ αὐτοί,
εὖτέ τιν' οὐλομένη μοῖρα κίχοι θανάτου.

ΥΠΟΘΗΚΩΝ.

1.

Τεθνάμεναι γὰρ καλὸν ἐνὶ προμάχοισι πεσόντα
ἄνδρ' ἀγαθόν, περὶ ᾗ πατρίδι μαρνάμενον·
τὴν δ' αὐτοῦ προλιπόντα πόλιν καὶ πίονας ἀγροὺς
πτωχεύειν πάντων ἔστ' ἀνιηρότατον,
πλαζόμενον σὺν μητρὶ φίλῃ καὶ πατρὶ γέροντι
παισί τε σὺν μικροῖς κουριδίῃ τ' ἀλόχῳ.
ἐχθρὸς μὲν γὰρ τοῖσι μετέσσεται, οὕς κεν ἵκηται
χρησμοσύνῃ τ' εἴκων καὶ στυγερῇ πενίῃ,
αἰσχύνει τε γένος κατὰ δ' ἀγλαὸν εἶδος ἐλέγχει,
πᾶσα δ' ἀτιμίη καὶ κακότης ἕπεται.
εἰ δ' οὕτως οὔτ' ἀνδρὸς ἀλωμένου οὐδεμί' ὤρη
γίγνεται οὐδ' αἰδώς, ἔς τ' ὀπίσω τελέθει,
θυμῷ γῆς περὶ τῆςδε μαχώμεθα καὶ περὶ παίδων
θνήσκωμεν ψυχέων μηκέτι φειδόμενοι,
ὦ νέοι, ἀλλὰ μάχεσθε παρ' ἀλλήλοισι μένοντες,
μηδὲ φυγῆς αἰσχρᾶς ἄρχετε μηδὲ φόβου,
ἀλλὰ μέγαν ποιεῖσθε καὶ ἄλκιμον ἐν φρεσὶ θυμόν,
μηδὲ φιλοψυχεῖτ' ἀνδράσι μαρνάμενοι,
τοὺς δὲ παλαιοτέρους, ὧν οὐκέτι γούνατ' ἐλαφρά,
μὴ καταλείποντες φεύγετε τοὺς γεραιούς.
αἰσχρὸν γὰρ δὴ τοῦτο μετὰ προμάχοισι πεσόντα
κεῖσθαι πρόσθε νέων ἄνδρα παλαιότερον,
ἤδη λευκὸν ἔχοντα κάρη πολιόν τε γένειον,
θυμὸν ἀποπνείοντ' ἄλκιμον ἐν κονίῃ,
αἱματόεντ' αἰδοῖα φίλαις ἐνὶ χερσὶν ἔχοντα
(αἰσχρὰ τάδ' ὀφθαλμοῖς καὶ νεμεσητὸν ἰδεῖν)

καὶ χρόα γυμνωθέντα. νέοισι δὲ πάντ᾽ ἐπέοικεν,
ὄφρ᾽ ἐρατῆς ἥβης ἀγλαὸν ἄνθος ἔχῃ,
ἀνδράσι μὲν θηητὸς ἰδεῖν, ἐρατὸς δὲ γυναιξὶ
ζωὸς ἐών, καλὸς δ᾽ ἐν προμάχοισι πεσών.
ἀλλά τις εὖ διαβὰς μενέτω ποσὶν ἀμφοτέροισιν
στηριχθεὶς ἐπὶ γῆς, χεῖλος ὀδοῦσι δακών.

2.

Ἀλλ᾽, Ἡρακλῆος γὰρ ἀνικήτου γένος ἐστέ,
θαρσεῖτ᾽, οὔπω Ζεὺς αὐχένα λοξὸν ἔχει.
μηδ᾽ ἀνδρῶν πληθὺν δειμαίνετε μηδὲ φοβεῖσθε,
ἰθὺς δ᾽ εἰς προμάχους ἀσπίδ᾽ ἀνὴρ ἐχέτω,
ἐχθρὰν μὲν ψυχὴν θέμενος θανάτου δὲ μελαίνας
κῆρας ὑπ᾽ αὐγαῖσιν ἠελίοιο φίλας.
ἴστε γὰρ ὡς Ἄρεως πολυδακρύου ἔργ᾽ ἀΐδηλα,
εὖ δ᾽ ὀργὴν ἐδάητ᾽ ἀργαλέου πολέμου,
καὶ πρὸς φευγόντων τε διωκόντων τ᾽ ἐγένεσθε,
ὦ νέοι, ἀμφοτέρων δ᾽ εἰς κόρον ἠλάσατε.
οἳ μὲν γὰρ τολμῶσι παρ᾽ ἀλλήλοισι μένοντες
εἴς τ᾽ αὐτοσχεδίην καὶ προμάχους ἰέναι,
παυρότεροι θνήσκουσι, σάουσι δὲ λαὸν ὀπίσσω·
τρεσσάντων δ᾽ ἀνδρῶν πᾶσ᾽ ἀπόλωλ᾽ ἀρετή.
οὐδεὶς ἄν ποτε ταῦτα λέγων ἀνύσειεν ἕκαστα,
ὅσσ᾽ ἢν αἰσχρὰ πάθῃ γίγνεται ἀνδρὶ κακά.
ἀργαλέον γὰρ ὄπισθε μετάφρενόν ἐστι δαΐζειν
ἀνδρὸς φεύγοντος δηίῳ ἐν πολέμῳ.
αἰσχρὸς δ᾽ ἐστὶ νέκυς κατακείμενος ἐν κονίῃσιν,
νῶτον ὄπισθ᾽ αἰχμῇ δουρὸς ἐληλαμένος.
ἀλλά τις εὖ διαβὰς μενέτω ποσὶν ἀμφοτέροισιν
στηριχθεὶς ἐπὶ γῆς, χεῖλος ὀδοῦσι δακών,
μηρούς τε κνήμας τε κάτω καὶ στέρνα καὶ ὤμους
ἀσπίδος εὐρείης γαστρὶ καλυψάμενος.
δεξιτερῇ δ᾽ ἐν χειρὶ τινασσέτω ὄβριμον ἔγχος,
κινείτω δὲ λόφον δεινὸν ὑπὲρ κεφαλῆς,
ἔρδων δ᾽ ὄβριμα ἔργα διδασκέσθω πολεμίζειν,

μηδ' ἐκτὸς βελέων ἑστάτω ἀσπίδ' ἔχων,
ἀλλά τις ἐγγὺς ἰών, αὐτοσχεδὸν ἔγχεϊ μακρῷ
ἢ ξίφει οὐτάζων, δήιον ἄνδρ' ἑλέτω,
καὶ πόδα παρ' ποδὶ θεὶς καὶ ἐπ' ἀσπίδος ἀσπίδ' ἐρείσας
ἐν δὲ λόφον τε λόφῳ καὶ κυνέην κυνέῃ
καὶ στέρνον στέρνῳ πεπλημένος ἀνδρὶ μαχέσθω,
ἢ ξίφεος κώπην ἢ δόρυ μακρὸν ἑλών.
ὑμεῖς δ', ὦ γυμνῆτες, ὑπ' ἀσπίδος ἄλλοθεν ἄλλος
πτώσσοντες μεγάλοις βάλλετε χερμαδίοις,
δούρασί τε ξεστοῖσιν ἀκοντίζοντες ἐς αὐτοὺς
τοῖσι πανοπλίταις πλησίον ἱστάμενοι.

3.

Οὔτ' ἂν μνησαίμην οὔτ' ἐν λόγῳ ἄνδρα τιθείμην
οὔτε ποδῶν ἀρετῆς οὔτε παλαισμοσύνης,
οὐδ' εἰ Κυκλώπων μὲν ἔχοι μέγεθός τε βίην τε,
νικῴη δὲ θέων Θρηίκιον Βορέην,
οὐδ' εἰ Τιθωνοῖο φυὴν χαριέστερος εἴη,
πλουτοίη δὲ Μίδεω καὶ Κινύραο πλέον,
οὐδ' εἰ Τανδαλίδεω Πέλοπος βασιλεύτερος εἴη,
γλῶσσαν δ' Ἀδρήστου μειλιχόγηρυν ἔχοι,
οὐδ' εἰ πᾶσαν ἔχοι δόξαν πλὴν θούριδος ἀλκῆς
(οὐ γὰρ ἀνὴρ ἀγαθὸς γίγνεται ἐν πολέμῳ),
εἰ μὴ τετλαίη μὲν ὁρῶν φόνον αἱματόεντα
καὶ δηίων ὀρέγοιτ' ἐγγύθεν ἱστάμενος.
ἥδ' ἀρετή, τόδ' ἄεθλον ἐν ἀνθρώποισιν ἄριστον
κάλλιστόν τε φέρειν γίγνεται ἀνδρὶ νέῳ.
ξυνὸν δ' ἐσθλὸν τοῦτο πόληί τε παντί τε δήμῳ
ὅστις ἀνὴρ διαβὰς ἐν προμάχοισι μένῃ
νωλεμέως, αἰσχρᾶς δὲ φυγῆς ἐπὶ πάγχυ λάθηται
ψυχὴν καὶ θυμὸν τλήμονα παρθέμενος,
θαρσύνῃ δ' ἔπεσιν τὸν πλησίον ἄνδρα παρεστώς·
οὗτος ἀνὴρ ἀγαθὸς γίγνεται ἐν πολέμῳ.
αἶψα δὲ δυσμενέων ἀνδρῶν ἔτρεψε φάλαγγας
τρηχείας, σπουδῇ δ' ἔσχεθε κῦμα μάχης.

αὐτὸς δ' ἐν προμάχοισι πεσὼν φίλον ὤλεσε θυμόν,
  ἄστυ τε καὶ λαοὺς καὶ πατέρ' εὐκλεΐσας,
πολλὰ διὰ στέρνοιο καὶ ἀσπίδος ὀμφαλοέσσης
  καὶ διὰ θώρηκος πρόσθεν ἐληλαμένος.
τὸν δ' ὀλοφύρονται μὲν ὁμῶς νέοι ἠδὲ γέροντες,
  ἀργαλέῳ τε πόθῳ πᾶσα κέκηδε πόλις.
καὶ τύμβος καὶ παῖδες ἐν ἀνθρώποις ἀρίσημοι
  καὶ παίδων παῖδες καὶ γένος ἐξοπίσω.
οὐδέ ποτε κλέος ἐσθλὸν ἀπόλλυται οὐδ' ὄνομ' αὐτοῦ,
  ἀλλ' ὑπὸ γῆς περ ἐὼν γίγνεται ἀθάνατος
ὅντιν' ἀριστεύοντα μένοντά τε μαρνάμενόν τε
  γῆς περὶ καὶ παίδων θοῦρος Ἄρης ὀλέσῃ.
εἰ δὲ φύγῃ μὲν κῆρα τανηλεγέος θανάτοιο
  νικήσας δ' αἰχμῆς ἀγλαὸν εὖχος ἕλῃ,
πάντες μιν τιμῶσιν ὁμῶς νέοι ἠδὲ παλαιοί,
  πολλὰ δὲ τερπνὰ παθὼν ἔρχεται εἰς Ἀΐδην,
πάντες δ' ἐν θώκοισιν ὁμῶς νέοι οἵ τε κατ' αὐτὸν
  εἴκουσ' ἐκ χώρης οἵ τε παλαιότεροι,
γηράσκων δ' ἀστοῖσι μεταπρέπει, οὐδέ τις αὐτὸν
  βλάπτειν οὔτ' αἰδοῦς οὔτε δίκης ἐθέλει.
ταύτης νῦν τις ἀνὴρ ἀρετῆς εἰς ἄκρον ἱκέσθαι
  πειράσθω θυμῷ μὴ μεθιεὶς πόλεμον.

ΜΙΜΝΕΡΜΟΥ ΚΟΛΟΦΩΝΙΟΥ.

1.

Τίς δὲ βίος, τί δὲ τερπνὸν ἄτερ χρυσέης Ἀφροδίτης;
  τεθναίην ὅτε μοι μηκέτι ταῦτα μέλοι,
κρυπταδίη φιλότης καὶ μείλιχα δῶρα καὶ εὐνή.
  ἄνθεα τῆς ἥβης γίγνεται ἁρπαλέα
ἀνδράσιν ἠδὲ γυναιξίν· ἐπεὶ δ' ὀδυνηρὸν ἐπέλθῃ
  γῆρας ὅ τ' αἰσχρὸν ὁμῶς καὶ κακὸν ἄνδρα τιθεῖ,
αἰεὶ μὲν φρένας ἀμφὶ κακαὶ τείρουσι μέριμναι,

οὐδ' αὐγὰς προσορῶν τέρπεται ἠελίου,
ἀλλ' ἐχθρὸς μὲν παισίν, ἀτίμαστος δὲ γυναιξίν.
οὕτως ἀργαλέον γῆρας ἔθηκε θεός.

2.

Ἡμεῖς δ' οἷά τε φύλλα φύει πολυάνθεμος ὥρη
ἔαρος, ὅτ' ἆψ αὐγῇ αὔξεται ἠελίου,
τοῖς ἴκελοι πήχυιον ἐπὶ χρόνον ἄνθεσιν ἥβης
τερπόμεθα πρὸς θεῶν εἰδότες οὔτε κακὸν
οὔτ' ἀγαθόν, Κῆρες δὲ παρεστήκασι μέλαιναι,
ἡ μὲν ἔχουσα τέλος γήραος ἀργαλέου,
ἡ δ' ἑτέρη θανάτοιο, μίνυνθα δὲ γίγνεται ἥβης
καρπὸς ὅσον τ' ἐπὶ γῆς κίδναται ἠέλιος.
αὐτὰρ ἐπὴν δὴ τοῦτο τέλος παραμείψεται ὥρης
αὐτίκα τεθνάμεναι βέλτιον ἢ βίοτος.
πολλὰ γὰρ ἐν θυμῷ κακὰ γίγνεται, ἄλλοθεν
οἶκος τρυχοῦται, πενίης δ' ἔργ' ὀδυνηρὰ πέλει.
ἄλλος δ' αὖ παίδων ἐπιδεύεται, ὧν τε μάλιστα
ἱμείρων κατὰ γῆς ἔρχεται εἰς Ἀΐδην.
ἄλλος νοῦσον ἔχει θυμοφθόρον, οὐδέ τίς ἐστιν
ἀνθρώπων ᾧ Ζεὺς μὴ κακὰ πολλὰ διδοῖ.

3.

Αὐτίκα μοι κατὰ μὲν χροιὴν ῥέει ἄσπετος ἱδρώς,
πτοιοῦμαι δ' ἐσορῶν ἄνθος ὁμηλικίης
τερπνὸν ὁμῶς καὶ καλόν, ἐπεὶ πλέον ὤφελεν εἶναι,
ἀλλ' ὀλιγοχρόνιον γίγνεται ὥςπερ ὄναρ
ἥβη τιμήεσσα, τὸ δ' ἀργαλέον καὶ ἄμορφον
γῆρας ὑπὲρ κεφαλῆς αὐτίχ' ὑπερκρέμαται,
ἐχθρὸν ὁμῶς καὶ ἄτιμον, ὅ τ' ἄγνωστον τιθεῖ ἄνδρα
βλάπτει δ' ὀφθαλμοὺς καὶ νόον ἀμφιχυθέν.

4.

Αἲ γὰρ ἄτερ νούσων τε καὶ ἀργαλέων μελεδώνων
ἑξηκονταέτη μοῖρα κίχοι θανάτου.

. . . .

ἄφρονες ἄνθρωποι καὶ νήπιοι, οἵ τε θανόντας
κλαίουσ᾽ οὐδ᾽ ἥβης ἄνθος ἀπολλύμενον.

5.

Ἠέλιος μὲν γὰρ ἔλαχεν πόνον ἤματα πάντα,
οὐδέ κοτ᾽ ἄμπαυσις γίγνεται οὐδεμία
ἵπποισίν τε καὶ αὐτῷ, ἐπὴν ῥοδοδάκτυλος Ἠὼς
Ὠκεανὸν προλιποῦσ᾽ οὐρανὸν εἰςαναβῇ.
τὸν μὲν γὰρ διὰ κῦμα φέρει πολυήρατος εὐνή,
κύλη Ἡφαίστου χερσὶν ἐληλαμένη
χρυσοῦ τιμήεντος, ὑπόπτερος, ἄκρον ἐφ᾽ ὕδωρ
εὕδονθ᾽ ἁρπαλέως χώρου ἀφ᾽ Ἑσπερίδων
γαῖαν ἐς Αἰθιόπων, ἵνα οἱ θοὸν ἅρμα καὶ ἵπποι
ἑστᾶσ᾽ ὄφρ᾽ Ἠὼς ἠριγένεια μόλῃ.
ἔνθ᾽ ἐπέβη ἑτέρων ὀχέων Ὑπερίονος υἱός.

6.

Οὐ μὲν δὴ κείνου γε μένος καὶ ἀγήνορα θυμὸν
τοῖον ἐμεῦ προτέρων πεύθομαι, οἵ μιν ἴδον
Λυδῶν ἱππομαχῶν πυκινὰς κλονέοντα φάλαγγας
Ἕρμιον ἂμ πεδίον, φῶτα φερεμμελίην.
τοῦ μὲν ἄρ᾽ οὔκοτε πάμπαν ἐμέμψατο Παλλὰς Ἀθήνη
δριμὺ μένος κραδίης, εὖτ᾽ ἂν ἀνὰ προμάχους
σεύηθ᾽ αἱματόεντος ἐν ὑσμίνῃ πολέμοιο
πικρὰ βιαζόμενος δυςμενέων βέλεα.
οὐ γάρ τις κείνου δηίων ἔτ᾽ ἀμεινότερος φὼς
ἔσκεν ἐποίχεσθαι φυλόπιδος κρατερῆς
ἔργον, ὅτ᾽ αὐγαῖσιν φέρετ᾽ ὠκέος ἠελίοιο.

ΣΟΛΩΝΟΣ ΑΘΗΝΑΙΟΥ.

1.

Παῖς μὲν ἄνηβος ἐών, ἔτι νήπιος ἕρκος ὀδόντων
φύσας ἐκβάλλει πρῶτον ἐν ἕπτ᾽ ἔτεσιν.
τοὺς δ᾽ ἑτέρους ὅτε δὴ τελέσῃ θεὸς ἕπτ᾽ ἐνιαυτούς,

ἥβης ἐκφαίνει σπέρματα γιγνομένης.
τῇ τριτάτῃ δὲ γένειον ἀεξομένων ἐπὶ γυίων
λαχνοῦται χροιῆς ἄνθος ἀμειβομένης.
τῇ δὲ τετάρτῃ πᾶς τις ἐν ἑβδομάδι μέγ᾽ ἄριστος
ἰσχὺν ἥντ᾽ ἄνδρες σῆμα φέρουσ᾽ ἀρετῆς.
πέμπτῃ δ᾽ ὥριον ἄνδρα γάμου μεμνημένον εἶναι
καὶ παίδων ζητεῖν εἰςοπίσω γενεήν.
τῇ δ᾽ ἕκτῃ περὶ πάντα καταρτύεται νόος ἀνδρός,
οὐδ᾽ ἔρδειν ἔθ᾽ ὁμῶς ἔργ᾽ ἀπάλαμνα θέλει.
ἑπτὰ δὲ νοῦν καὶ γλῶσσαν ἐν ἑβδομάσι μέγ᾽ ἄριστος
ὀκτώ τ᾽· ἀμφοτέρων τέσσαρα καὶ δέκ᾽ ἔτη.
τῇ δ᾽ ἐνάτῃ ἔτι μὲν δύναται, μαλακώτερα δ᾽ αὐτοῦ
πρὸς μεγάλην ἀρετὴν σῶμά τε καὶ δύναμις.
τῇ δεκάτῃ δ᾽ εἴ τις τελέσας κατὰ μέτρον ἵκοιτο,
οὐκ ἂν ἄωρος ἐὼν μοῖραν ἔχοι θανάτου.

2.

Μνημοσύνης καὶ Ζηνὸς Ὀλυμπίου ἀγλαὰ τέκνα,
Μοῦσαι Πιερίδες, κλῦτέ μοι εὐχομένῳ.
ὄλβον ἐμοὶ πρὸς θεῶν μακάρων δότε καὶ πρὸς ἁπάντων
ἀνθρώπων αἰεὶ δόξαν ἔχειν ἀγαθήν,
εἶναι δὲ γλυκὺν ὧδε φίλοις, ἐχθροῖσι δὲ πικρόν,
τοῖσι μὲν αἰδοῖον, τοῖσι δὲ δεινὸν ἰδεῖν.
χρήματα δ᾽ ἱμείρω μὲν ἔχειν, ἀδίκως δὲ πεπᾶσθαι
οὐκ ἐθέλω· πάντως ὕστερον ἦλθε Δίκη.
πλοῦτος δ᾽ ὃν μὲν δῶσι θεοὶ παραγίγνεται ἀνδρὶ
ἔμπεδος ἐκ νεάτου πυθμένος ἐς κορυφήν;
ὃν δ᾽ ἄνδρες τιμῶσιν ὑφ᾽ ὕβριος οὐ κατὰ κόσμον
ἔρχεται, ἀλλ᾽ ἀδίκοις ἔργμασι πειθόμενος
οὐκ ἐθέλων ἕπεται, ταχέως δ᾽ ἀναμίσγεται ἄτῃ,
ἀρχὴ δ᾽ ἐξ ὀλίγου γίγνεται ὥςτε πυρός,
φλαύρη μὲν τὸ πρῶτον, ἀνιηρὴ δὲ τελευτᾷ·
οὐ γὰρ δὴν θνητοῖς ὕβριος ἔργα πέλει,
ἀλλὰ Ζεὺς πάντων ἐφορᾷ τέλος, ἐξαπίνης δὲ
ὥςτ᾽ ἄνεμος νεφέλας αἶψα διεσκέδασεν

ἠρινός, ὃς πόντου πολυκύμονος ἀτρυγέτοιο
 πυθμένα κινήσας, γῆν κατὰ πυροφόρον
δηώσας καλὰ ἔργα, θεῶν ἕδος αἰπὺν ἱκάνει
 οὐρανόν, αἰθρίην δ' αὖτις ἔθηκεν ἰδεῖν,
λάμπει δ' ἠελίοιο μένος κατὰ πίονα γαῖαν
 καλόν, ἀτὰρ νεφέων οὐδὲν ἔτ' ἐστὶν ἰδεῖν.
τοιαύτη Ζηνὸς πέλεται τίσις, οὐδ' ἐφ' ἑκάστῳ
 ὥςπερ θνητὸς ἀνὴρ γίγνεται ὀξύχολος.
αἰεὶ δ' οὔ τι λέληθε διαμπερὲς ὅςτις ἀλιτρὸν
 θύμον ἔχει, πάντως δ' ἐς τέλος ἐξεφάνη.
ἀλλ' ὁ μὲν αὐτίκ' ἔτισεν, ὁ δ' ὕστερον· ἢν δὲ φύγωσιν
 αὐτοὶ μηδὲ θεῶν μοῖρ' ἐπιοῦσα κίχῃ,
ἤλυθε πάντως αὖτις· ἀναίτιοι ἔργα τίνουσιν
 ἢ παῖδες τούτων ἢ γένος ἐξοπίσω.
θνητοὶ δ' ὧδε νοεῦμεν ὁμῶς ἀγαθός τε κακός τε·
 δεινὴν εἷς αὐτοῦ δόξαν ἕκαστος ἔχει
πρίν τι παθεῖν, τότε δ' αὖτις ὀδύρεται· ἄχρι δὲ τούτου
 χάσκοντες κούφαις ἐλπίσι τερπόμεθα.
χ' ὅς τις μὲν νούσοισιν ὑπ' ἀργαλέῃσι πιεσθῇ,
 ὡς ὑγιὴς ἔσται, τοῦτο κατεφράσατο.
ἄλλος δειλὸς ἐὼν ἀγαθὸς δοκεῖ ἔμμεναι ἀνὴρ·
 καὶ καλὸς μορφὴν οὐ χαρίεσσαν ἔχων.
εἰ δέ τις ἀχρήμων, πενίης δέ μιν ἔργα βιᾶται,
 κτήσασθαι πάντως χρήματα πλεῖστα δοκεῖ.
σπεύδει δ' ἄλλοθεν ἄλλος. ὁ μὲν κατὰ πόντον ἀλᾶται
 ἐν νηυσὶν χρῄζων οἴκαδε κέρδος ἄγειν,
ἰχθυόεντ', ἀνέμοισι φορεύμενος ἀργαλέοισιν,
 φειδωλὴν ψυχῆς οὐδεμίην θέμενος.
ἄλλος γῆν τέμνων πολυδένδρεον εἰς ἐνιαυτὸν
 λατρεύει, τοῖσιν καμπύλ' ἄροτρα μέλει.
ἄλλος Ἀθηναίης τε καὶ Ἡφαίστου πολυτέχνεω
 ἔργα δαεὶς χειροῖν ξυλλέγεται βίοτον.
ἄλλος Ὀλυμπιάδων Μουσέων πάρα δῶρα διδαχθεὶς
 ἱμερτῆς σοφίης μέτρον ἐπιστάμενος.

ἄλλον μάντιν ἔθηκεν ἄναξ ἑκάεργος Ἀπόλλων,
ἔγνω δ' ἀνδρὶ κακὸν τηλόθεν ἐρχόμενον
ᾧ συνομαρτήσωσι θεοί· τὰ δὲ μόρσιμα πάντως
οὔτε τις οἰωνὸς ῥύσεται οὔθ' ἱερά.
ἄλλοι Παιῶνος πολυφαρμάκου ἔργον ἔχοντες
ἰητροί, καὶ τοῖς οὐδὲν ἔπεστι τέλος.
πολλάκι δ' ἐξ ὀλίγης ὀδύνης μέγα γίγνεται ἄλγος,
κοὐκ ἄν τις λύσαι ἤπια φάρμακα δούς·
τὸν δὲ κακαῖς νούσοισι κυκώμενον ἀργαλέαις τε
ἁψάμενος χειροῖν αἶψα τίθησ' ὑγιῆ.
μοῖρα δέ τοι θνητοῖσι κακὸν φέρει ἠδὲ καὶ ἐσθλόν,
δῶρα δ' ἄφυκτα θεῶν γίγνεται ἀθανάτων.
πᾶσι δέ τοι κίνδυνος ἐπ' ἔργμασιν, οὐδέ τις οἶδεν
ᾗ μέλλει σχήσειν χρήματος ἀρχομένου.
ἀλλ' ὁ μὲν εὖ ἔρδειν πειρώμενος οὐ προνοήσας
ἐς μεγάλην ἄτην καὶ χαλεπὴν ἔπεσεν·
τῷ δὲ κακῶς ἔρδοντι θεὸς περὶ πάντα δίδωσιν
συντυχίην ἀγαθήν, ἔκλυσιν ἀφροσύνης.
πλούτου δ' οὐδὲν τέρμα πεφασμένον ἀνδράσι κεῖται·
οἳ γὰρ νῦν ἡμέων πλεῖστον ἔχουσι βίον
διπλάσιον σπεύδουσι· τίς ἂν κορέσειεν ἅπαντα;
κέρδεα τοι θνητοῖς ὤπασαν ἀθάνατοι·
ἄτη δ' ἐξ αὐτῶν ἀναφαίνεται, ἣν ὁπόταν Ζεὺς
πέμψῃ τισομένην ἄλλοτε ἄλλος ἔχει.

3.

Αὐτὸς κῆρυξ ἦλθον ἀφ' ἱμερτῆς Σαλαμῖνος
κόσμον ἐπέων ᾠδὴν ἀντ' ἀγορῆς θέμενος.

. . . .

εἴην δὴ τότ' ἐγὼ Φολεγάνδριος ἢ Σικινίτης
ἀντί γ' Ἀθηναίου πατρίδ' ἀμειψάμενος.
αἶψα γὰρ ἂν φάτις ἥδε μετ' ἀνθρώποισι γένοιτο·
Ἀττικὸς οὗτος ἀνήρ, τῶν Σαλαμιναφετῶν.

. . . .

ἴομεν εἰς Σαλαμῖνα μαχησόμενοι περὶ νήσου

ἱμερτῆς χαλεπόν τ' αἶσχος ἀπωσάμενοι.

4.

Ἡμετέρα δὲ πόλις κατὰ μὲν Διὸς οὔποτ' ὀλεῖται
    αἶσαν καὶ μακάρων θεῶν φρένας ἀθανάτων.
τοίη γὰρ μεγάθυμος ἐπίσκοπος ὀβριμοπάτρη
    Παλλὰς Ἀθηναίη χεῖρας ὕπερθεν ἔχει.
αὐτοὶ δὲ φθείρειν μεγάλην πόλιν ἀφραδίῃσιν
    ἀστοὶ βούλονται χρήμασι πειθόμενοι.
δήμου θ' ἡγεμόνων ἄδικος νόος, οἷσιν ἑτοῖμον
    ὕβριος ἐκ μεγάλης ἄλγεα πολλὰ παθεῖν.
οὐ γὰρ ἐπίστανται κατέχειν κόρον οὐδὲ παρούσας
    εὐφροσύνας κοσμεῖν δαιτὸς ἐν ἡσυχίῃ.

. . . .

    οὔθ' ἱερῶν κτεάνων οὔτε τι δημοσίων
φειδόμενοι κλέπτουσιν ἐφ' ἁρπαγῇ ἄλλοθεν ἄλλος,
    οὐδὲ φυλάσσονται σεμνὰ Δίκης θέμεθλα,
ἣ σιγῶσα σύνοιδε τὰ γιγνόμενα πρό τ' ἐόντα,
    τῷ δὲ χρόνῳ πάντως ἦλθ' ἀποτισαμένη.
τοῦτ' ἤδη πάσῃ πόλει ἔρχεται ἕλκος ἄφυκτον
    εἰς δὲ κακὴν ταχέως ἤλυθε δουλοσύνην,
ἣ στάσιν ἔμφυλον πόλεμόν θ' εὕδοντ' ἐπεγείρει,
    ὃς πολλῶν ἐρατὴν ὤλεσεν ἡλικίην.
ἐκ γὰρ δυςμενέων ταχέως πολυήρατον ἄστυ
    τρύχεται ἐν συνόδοις τοῖς ἀδικοῦσι φίλους.
ταῦτα μὲν ἐν δήμῳ στρέφεται κακά· τῶν δὲ πενιχρῶν
    ἱκνοῦνται πολλοὶ γαῖαν ἐς ἀλλοδαπὴν
πραθέντες δεσμοῖσί τ' ἀεικελίοισι δεθέντες.

. . . .

οὕτω δημόσιον κακὸν ἔρχεται οἴκαδ' ἑκάστῳ,
    αὔλειοι δ' ἔτ' ἔχειν οὐκ ἐθέλουσι θύραι.
ὑψηλὸν δ' ὑπὲρ ἕρκος ὑπέρθορεν, εὗρε δὲ πάντως
    εἴ γέ τις φεύγων ἐν μυχῷ ἦ θαλάμῳ.
ταῦτα διδάξαι θυμὸς Ἀθηναίους με κελεύει,
    ὡς κακὰ πλεῖστα πόλει δυςνομία παρέχει,

εὐνομία δ' εὔκοσμα καὶ ἄρτιά πάντ' ἀποφαίνει
καὶ θαμὰ τοῖς ἀδίκοις ἀμφιτίθησι πέδας,
τραχέα λειαίνει, παύει κόρον, ὕβριν ἀμαυροῖ,
αὐαίνει δ' ἄτης ἄνθεα φυόμενα,
εὐθύνει δὲ δίκας σκολιάς, ὑπερήφανά τ' ἔργα
πραΰνει, παύει δ' ἔργα διχοστασίης,
παύει δ' ἀργαλέης ἔριδος χόλον, ἔστι δ' ὑπ' αὐτῆς
πάντα κατ' ἀνθρώπους ἄρτια καὶ πινυτά.

. . . .

δήμῳ μὲν γὰρ ἔδωκα τόσον κράτος ὅσσον ἐπαρκεῖ,
τιμῆς οὔτ' ἀφελὼν οὔτ' ἐπορεξάμενος·
οἳ δ' εἶχον δύναμιν καὶ χρήμασιν ἦσαν ἀγηταί,
καὶ τοῖς ἐφρασάμην μηδὲν ἀεικὲς ἔχειν.
ἔστην δ' ἀμφιβαλὼν κράτερον σάκος ἀμφοτέροισιν,
νικᾶν δ' οὐκ εἴασ' οὐδετέρους ἀδίκως.

. . . .

ὧδ' ἂν δῆμος ἄριστα σὺν ἡγεμόνεσσιν ἕποιτο
μήτε λίην ἀνεθεὶς μήτε πιεζόμενος.

. . . .

Νείλου ἐπὶ προχοῇσι Κανωβίδος ἐγγύθεν ἀκτῆς.
ἔργμασιν ἐν μεγάλοις πᾶσιν ἁδεῖν χαλεπόν.

. . . .

ἐκ νεφέλης πέλεται χιόνος μένος ἠδὲ χαλάζης,
βροντὴ δ' ἐκ λαμπρᾶς γίγνεται ἀστεροπῆς.
ἐξ ἀνέμων δὲ θάλασσα ταράσσεται· ἢν δέ τις αὐτὴν
μὴ κινῇ, πάντων ἐστὶ δικαιοτάτη.
ἀνδρῶν δ' ἐκ μεγάλων πόλις ὄλλυται, εἰς δὲ μονάρχου
δῆμος ἀϊδρείῃ δουλοσύνην ἔπεσεν.
λίην δ' ἐξαρθέντ' οὐ ῥᾴδιόν ἐστι κατασχεῖν
ὕστερον, ἀλλ' ἤδη χρὴ περὶ πάντα νοεῖν.

. . . .

εἰ δὲ πεπόνθατε λυγρὰ δι' ὑμετέρην κακότητα,
μή τι θεοῖς τούτων μοῖραν ἐπαμφέρετε.
αὐτοὶ γὰρ τούτους ηὐξήσατ' ἐρύματα δόντες

καὶ διὰ τοῦτο κακὴν ἔσχετε δουλοσύνην.
ὑμέων δ' εἷς μὲν ἕκαστος ἀλώπεκος ἴχνεσι βαίνει,
σύμπασιν δ' ὑμῖν κοῦφος ἔνεστι νόος.
εἰς γὰρ γλῶσσαν ὁρᾶτε καὶ εἰς ἔπος αἰόλον ἀνδρός,
εἰς ἔργον δ' οὐδὲν γιγνόμενον βλέπετε.

. . . .

δείξει δὴ μανίην μὲν ἐμὴν βαιὸς χρόνος ἀστοῖς,
δείξει ἀληθείης ἐς μέσον ἐρχομένης.

5.

Ἀλλ' εἴ μοι κἂν νῦν ἔτι πείσεαι, ἔξελε τοῦτο,
μηδὲ μέγαιρ' ὅτι σεῦ λώιον ἐφρασάμην,
καὶ μεταποίησον, Λιγυαστάδη, ὧδε δ' ἄειδε·
ὀγδωκονταέτη μοῖρα κίχοι θανάτου.

. . . .

μηδέ μοι ἄκλαυστος θάνατος μόλοι, ἀλλὰ φίλοισιν
καλλείποιμι θανὼν ἄλγεα καὶ στοναχάς.

6.

Νῦν δὲ σὺ μὲν Σολίοισι πολὺν χρόνον ἐνθάδ' ἀνάσσων
τήνδε πόλιν ναίοις καὶ γένος ὑμέτερον.
αὐτὰρ ἐμὲ ξὺν νηὶ θοῇ κλεινῆς ἀπὸ νήσου
ἀσκηθῆ πέμποι Κύπρις ἰοστέφανος,
οἰκισμῷ δ' ἐπὶ τῷδε χάριν καὶ κῦδος ὀπάζοι
ἐσθλὸν καὶ νόστον πατρίδ' ἐς ἡμετέρην.

ΑΝΑΚΡΕΟΝΤΟΣ ΤΗΙΟΥ.

1.

Οὐ φιλέω ὃς κρητῆρι παρὰ πλέῳ οἰνοποτάζων
νείκεα καὶ πόλεμον δακρυόεντα λέγει,
ἀλλ' ὅστις Μουσέων τε καὶ ἀγλαὰ δῶρ' Ἀφροδίτης
συμμίσγων ἐρατῆς μνήσεται εὐφροσύνης.

2.

Ἡ τὸν θύρσον ἔχουσ' Ἑλικωνιὰς ἥ τε παρ' αὐτὴν

Ξανθίππη Γλαύκη τ' εἰς χορὸν ἐρχόμεναι
ἐξ ὄρεος χωρεῦσι, Διωνύσῳ δὲ φέρουσιν
κισσὸν καὶ σταφυλήν, πίονα καὶ χίμαρον.

ΞΕΝΟΦΑΝΟΥΣ ΚΟΛΟΦΩΝΙΟΥ.

1.

Νῦν γὰρ δὴ ζάπεδον καθαρὸν καὶ χεῖρες ἁπάντων
καὶ κύλικες, πλεκτοὺς δ' ἀμφέθεθ' εἰς στεφάνους,
ἄλλος δ' εὐῶδες μύρον ἐν φιάλῃ παρατείνει·
κρητὴρ δ' ἕστηκεν μεστὸς ἐϋφροσύνης.
οἶνος δ' ἐστὶν ἕτοιμος, ὃς οὔπω πυθμένι γείτων,
μείλιχος ἐν κεράμοις, ἄνθεος ὀσδόμενος.
ἐν δὲ μέσοις ἁγνὴν ὀδμὴν λιβάνωτος ἵησιν,
ψυχρὸν δ' ἐστὶν ὕδωρ καὶ γλυκὺ καὶ καθαρόν.
πάρκειται δ' ἄρτοι ξανθοὶ γεραρή τε τράπεζα
τυροῦ καὶ μέλιτος πίονος ἀχθομένη·
βωμὸς δ' ἄνθεσιν αὐτομάτοις πάντη πεπύκασται,
μολπὴ δ' ἀμφὶς ἔχει δώματα καὶ θαλίη.
χρὴ δὲ πρῶτον μὲν θεὸν ὑμνεῖν εὔφρονας ἄνδρας
εὐφήμοις μύθοις καὶ καθαροῖσι λόγοις
σπείσαντάς τε καὶ εὐξαμένους, τὰ δίκαια δ' ὄνασθαι
πρήσσοντας, τὸ γὰρ ὤν ἐστι προχειρότερον,
οὐχ ὕβριν, πίνειν δ' ὁπόσον κεν ἔχων ἀφίκοιο
οἴκαδ' ἄνευ προπόλου μὴ πάνυ γηραλέος,
ἀνδρῶν δ' αἰνεῖν τοῦτον ὃς ἐσθλὰ πιὼν ἀναφαίνει
ὅσση μνημοσύνη καὶ λόγος ἀμφ' ἀρετῆς,
οὔτι μάχας διέπειν Τιτήνων οὐδὲ Γιγάντων
οὐδὲ τὰ Κενταύρων φλάσματα τῶν προτέρων,
ἢ στάσιας φλεδονᾶν, τοῖς οὐδὲν χρηστὸν ἔνεστιν,
θεῶν δὲ προμηθίην αἰὲν ἔχειν ἀγαθήν.

2.

Ἀλλ' εἰ μὲν ταχυτῆτι ποδῶν νίκην τις ἄροιτο,

ἢ πενταθλεύων, ἔνθα Διὸς τέμενος
πὰρ Πίσαο ῥοῇς ἐν Ὀλυμπίῃ, εἴτε παλαίων,
ἢ καὶ πυκτοσύνην ἀλγινόεσσαν ἔχων
εἴτε τὸ δεινὸν ἄεθλον ὃ παγκράτιον καλέουσιν,
ἀστοῖσίν κ' εἴη κυδρότερος προςορᾶν,
καί κε προεδρίην φανερὴν ἐν ἀγῶσιν ἄροιτο,
καί κεν σῖτ' εἴη δημοσίων κτεάνων
ἐκ πόλεως καί δῶρον ὅ οἱ κειμήλιον εἴη
εἴτε καὶ ἵπποισιν· ταῦτά κε πάντα λάχοι
οὐκ ἐὼν ἄξιος ὥςπερ ἐγώ· ῥώμης γὰρ ἀμείνων
ἀνδρῶν ἠδ' ἵππων ἡμετέρη σοφίη.
ἀλλ' εἰκῇ μάλα τοῦτο νομίζεται, οὐδὲ δίκαιον
προκρίνειν ῥώμην τῆς ἀγαθῆς σοφίης.
οὔτε γὰρ εἰ πύκτης ἀγαθὸς λαοῖσι μετείη,
οὔτ' εἰ πενταθλεῖν, οὔτε παλαισμοσύνην,
οὐδὲ μὲν εἰ ταχυτῆτα ποδῶν, τόπερ ἔστι πρότιμον
ῥώμης ὅσσ' ἀνδρῶν ἔργ' ἐν ἀγῶνι πέλει,
τοὔνεκεν ἂν δὴ μᾶλλον ἐν εὐνομίῃ πόλις εἴη.
σμικρὸν δ' ἄν τι πόλει χάρμα γένοιτ' ἐπὶ τῷ
εἴ τις ἀεθλεύων νικῷ Πίσαο παρ' ὄχθας·
οὐ γὰρ πιαίνει ταῦτα μυχοὺς πόλεως.

3.

Ἁβροσύνας δέ μαθόντες ἀνωφελέας παρὰ Λυδῶν,
ὄφρα τυραννίης ἦσαν ἄνευ στυγερῆς,
ᾔεσαν εἰς ἀγορὴν παναλουργέα φάρε' ἔχοντες
οὐ μείους ἤπερ χίλιοι εἰς ἐπίπαν,
αὐχαλέοι, χαίτῃσιν ἀγαλλόμενοι εὐπρεπέεσσιν,
ἀσκητοῖς ὀδμὴν χρίμασι δευόμενοι.

4.

Νῦν οὖν ἄλλον ἔπειμι λόγον δείξω δὲ κέλευθον.

. . . .

καί ποτέ μιν στυφελιζομένου σκύλακος παριόντα
φασὶν ἐποικτεῖραι καὶ τόδε φάσθαι ἔπος·

παῦσαι μηδὲ ῥάπιζ', ἐπειὴ φίλον ἀνέρος ἐστὶ
ψυχή, τὴν ἔγνων φθεγξαμένης ἀΐων.

5.

Ἤδη δ' ἑπτά τ' ἔασι καὶ ἑξήκοντ' ἐνιαυτοὶ
βληστρίζοντες ἐμὴν φροντίδ' ἀν' Ἑλλάδα γῆν·
ἐκ γενετῆς δὲ τότ' ἦσαν ἐείκοσι πέντε τε πρὸς τοῖς,
εἴπερ ἐγὼ περὶ τῶνδ' οἶδα λέγειν ἐτύμως.

ΘΕΟΓΝΙΔΟΣ ΜΕΓΑΡΕΩΣ.

1.

Κριοὺς μὲν καὶ ὄνους διζήμεθα, Κύρνε, καὶ ἵππους
εὐγενέας καί τις βούλεται ἐξ ἀγαθῶν
βήσεσθαι, γῆμαι δὲ κακὴν κακοῦ οὐ μελεδαίνει
ἐσθλὸς ἀνήρ, ἤν οἱ χρήματα πολλὰ διδῷ.
οὐδὲ γυνὴ κακοῦ ἀνδρὸς ἀναίνεται εἶναι ἄκοιτις
πλουσίου, ἀλλ' ἀφνεὸν βούλεται ἀντ' ἀγαθοῦ.
χρήματα γὰρ τιμῶσι, καὶ ἐκ κακοῦ ἐσθλὸς ἔγημεν
καὶ κακὸς ἐξ ἀγαθοῦ· πλοῦτος ἔμιξε γένος.

Αὐτός τοι ταύτην εἰδὼς κακόπατριν ἐοῦσαν
εἰς οἴκους ἄγεται χρήμασι πειθόμενος,
εὔδοξος κακόδοξον, ἐπεὶ κρατερή μιν ἀνάγκη
ἐντύει ἥτ' ἀνδρὸς τλήμονα θῆκε νόον.

Κύρν', οἱ πρόσθ' ἀγαθοὶ νῦν αὖ κακοί, οἱ δὲ κακοὶ πρὶν
νῦν ἀγαθοί. τίς κεν ταῦτ' ἀνέχοιτ' ἐσορῶν,
τοὺς ἀγαθοὺς μὲν ἀτιμοτέρους, κακίους δὲ λαχόντας
τιμῆς; μνηστεύει δ' ἐκ κακοῦ ἐσθλὸς ἀνήρ.
ἀλλήλους δ' ἀπατῶντες ἐπ' ἀλλήλοισι γελῶσιν
οὔτ' ἀγαθῶν μνήμην εἰδότες οὔτε κακῶν.

Ἐλπὶς ἐν ἀνθρώποισι μόνη θεὸς ἐσθλὴ ἔνεστιν,

ἄλλοι δ' Οὔλυμπόνδ' ἐκπρολιπόντες ἔβαν.
ᾤχετο μὲν Πίστις μεγάλη θεός, ᾤχετο δ' ἀνδρῶν
Σωφροσύνη, Χάριτές τ', ὦ φίλε, γῆν ἔλιπον.
ὅρκοι δ' οὐκέτι πιστοὶ ἐν ἀνθρώποισι δίκαιοι,
οὐδὲ θεοὺς οὐδεὶς ἅζεται ἀθανάτους.
εὐσεβέων δ' ἀνδρῶν γένος ἔφθιτο, οὐδὲ θέμιστας
οὐκέτι γιγνώσκουσ' οὐδὲ μὲν εὐσεβίας.
ἀλλ' ὄφρα τις ζώει καὶ ὁρᾷ φάος ἠελίοιο,
εὐσεβέων περὶ θεοὺς Ἐλπίδα προςμενέτω,
εὐχέσθω δὲ θεοῖσι κατ' ἀγλαὰ μηρία καίων,
Ἐλπίδι τε πρώτῃ καὶ πυμάτῃ θυέτω.
φραζέσθω δ' ἀδίκων ἀνδρῶν σκολιὸν λόγον αἰεί,
οἳ θεῶν ἀθανάτων οὐδὲν ὀπιζόμενοι
αἰὲν ἐπ' ἀλλοτρίοις κτεάνοις ἐπέχουσι νόημα,
αἰσχρὰ κακοῖς ἔργοις σύμβολα θηκάμενοι.

Ταῦτα μὲν οὕτως ἴσθι, κακοῖσι δὲ μὴ προςομίλει
ἀνδράσιν, ἀλλ' αἰεὶ τῶν ἀγαθῶν ἔχεο,
καὶ μετὰ τοῖσιν πῖνε καὶ ἔσθιε, καὶ παρὰ τοῖσιν
ἵζε, καὶ ἅνδανε τοῖς ὧν μεγάλη δύναμις.
ἐσθλῶν μὲν γὰρ ἀπ' ἐσθλὰ μαθήσεαι· ἢν δὲ κακοῖσιν
συμμίσγῃς, ἀπολεῖς καὶ τὸν ἐόντα νόον.
ταῦτα μαθὼν ἀγαθοῖσιν ὁμίλεε, καί ποτε φήσεις
εὖ συμβουλεύειν τοῖσι φίλοισιν ἐμέ.

Οὐδείς, Κύρν', ἄτης καὶ κέρδεος αἴτιος αὐτός,
ἀλλὰ θεοὶ τούτων δώτορες ἀμφοτέρων.
οὐδέ τις ἀνθρώπων ἐργάζεται ἐν φρεσὶν εἰδὼς
ἐς τέλος εἴτ' ἀγαθὸν γίγνεται εἴτε κακόν.
πολλάκι γὰρ δοκέων θήσειν κακὸν ἐσθλὸν ἔθηκεν,
καί τε δοκῶν θήσειν ἐσθλὸν ἔθηκε κακόν.
οὐδέ τῳ ἀνθρώπων παραγίγνεται ὅσσ' ἐθέλῃσιν·
ἴσχει γὰρ χαλεπῆς πείρατ' ἀμηχανίης.

ἄνθρωποι δὲ μάταια νομίζομεν εἰδότες οὐδέν,
θεοὶ δὲ κατὰ σφέτερον πάντα τελοῦσι νόον.

Ζεῦ φίλε, θαυμάζω σε· σὺ γὰρ πάντεσσιν ἀνάσσεις,
τιμὴν αὐτὸς ἔχων καὶ μεγάλην δύναμιν,
ἀνθρώπων δ' εὖ οἶσθα νόον καὶ θυμὸν ἑκάστου,
σὸν δὲ κράτος πάντων ἔσθ' ὕπατον, βασιλεῦ.
πῶς δή σευ, Κρονίδη, τολμᾷ νόος ἄνδρας ἀλιτροὺς
ἐν ταὐτῇ μοίρῃ τόν τε δίκαιον ἔχειν,
ἤν τ' ἐπὶ σωφροσύνην τρεφθῇ νόος, ἤν τε πρὸς ὕβριν
ἀνθρώπων ἀδίκοις ἔργμασι πειθομένων;
οὐδέ τι κεκριμένον πρὸς δαίμονός ἐστι βροτοῖσιν,
οὐδ' ὁδὸς ἥν τις ἰὼν ἀθανάτοισιν ἅδοι.

Ζεῦ πάτερ, εἴθε γένοιτο θεοῖς φίλα τοῖς μὲν ἀλιτροῖς
ὕβριν ἁδεῖν καί σφιν τοῦτο γένοιτο φίλον
θυμῷ, σχέτλια ἔργα μετά φρεσὶν ὅςτις ἀπηνὴς
ἐργάζοιτο θεῶν μηδὲν ὀπιζόμενος,
αὐτὸν ἔπειτα πάλιν τῖσαι κακά, μηδέ τ' ὀπίσσω
πατρὸς ἀτασθαλίαι παισὶ γένοιντο κακόν,
παῖδες δ' οἵτ' ἀδίκου πατρὸς τὰ δίκαια νοεῦντες
ποιῶσιν, Κρονίδη, σὸν χόλον ἁζόμενοι,
ἐξ ἀρχῆς τὰ δίκαια μετ' ἀστοῖσιν φιλέοντες,
μή τιν' ὑπερβασίην ἀντιτίνειν πατέρων.
ταῦτ' εἴη μακάρεσσι θεοῖς φίλα. νῦν δ' ὁ μὲν ἔρδων
ἐκφεύγει, τὸ κακὸν δ' ἄλλος ἔπειτα φέρει.
καὶ τοῦτ', ἀθανάτων βασιλεῦ, πῶς ἐστὶ δίκαιον,
ἔργων ὅςτις ἀνὴρ ἐκτὸς ἐὼν ἀδίκων,
μή τιν' ὑπερβασίην κατέχων μηδ' ὅρκον ἀλιτρόν,
ἀλλὰ δίκαιος ἐὼν μὴ τὰ δίκαια παθεῖν;
τίς δή κεν βροτὸς ἄλλος ὁρῶν πρὸς τοῦτον ἔπειτα
ἅζοιτ' ἀθανάτους, καὶ τίνα θυμὸν ἔχων,
ὁππότ' ἀνὴρ ἄδικος καὶ ἀτάσθαλος, οὔτε τευ ἀνδρὸς
οὔτε τευ ἀθανάτων μῆνιν ἀλευόμενος,

ὑβρίζῃ, πλούτῳ κεκορημένος, οἱ δὲ δίκαιοι
τρύχωνται χαλεπῇ τειρόμενοι πενίῃ;

Φῦσαι καὶ θρέψαι ῥᾷον βροτὸν ἢ φρένας ἐσθλὰς
ἐνθέμεν· οὐδείς πω τοῦτό γ' ἐπεφράσατο,
ὅςτις σώφρον' ἔθηκε τὸν ἄφρονα κἀκ κακοῦ ἐσθλόν.
εἰ δ' Ἀσκληπιάδαις τοῦτό γ' ἔδωκε θεός,
ἰᾶσθαι κακότητα καὶ ἀτηρὰς φρένας ἀνδρῶν,
πολλοὺς ἂν μισθοὺς καὶ μεγάλους ἔφερον.

Μή ποτ' ἐπαινήσῃς πρὶν ἂν εἰδῇς ἄνδρα σαφηνῶς,
ὀργὴν καὶ ῥυθμὸν καὶ τρόπον ὅςτις ἂν ᾖ.
πολλοί τοι κίβδηλον ἐπίκλοπον ἦθος ἔχοντες
κρύπτουσ', ἐνθέμενοι θυμὸν ἐφημέριον.
τούτων δ' ἐκφαίνει πάντων χρόνος ἦθος ἑκάστου.
καὶ γὰρ ἐγὼ γνώμης πολλὸν ἄρ' ἐκτὸς ἔβην.
ἔφθην αἰνήσας πρὶν σοῦ κατὰ πάντα δαῆναι.
ἤθεα· νῦν δ' ἤδη νηῦς ἅθ' ἑκὰς διέχω.

Χρυσοῦ κιβδήλοιο καὶ ἀργύρου ἀνσχετὸς ἄτη,
Κύρνε, καὶ ἐξευρεῖν ῥάδιον ἀνδρὶ σοφῷ.
εἰ δὲ φίλου νόος ἀνδρὸς ἐνὶ στήθεσσι λελήθῃ
ψυδρὸς ἐών, δόλιον δ' ἐν φρεσὶν ἦτορ ἔχῃ
τοῦτο θεὸς κιβδηλότατον ποίησε βροτοῖσιν,
καὶ γνῶναι πάντων τοῦτ' ἀνιηρότατον.
οὐ γὰρ ἂν εἰδείης ἀνδρὸς νόον οὐδὲ γυναικός,
πρὶν πειρηθείης ὥςπερ ὑποζυγίου·
οὐδέ κεν εἰκάσσαις ὥςπερ ποτ' ἐς ὥριον ἐλθών·
πολλάκι γὰρ γνώμην ἐξαπατῶσ' ἰδέαι.

Πολλοῖς ἀχρήστοισι θεὸς διδοῖ ἀνδράσιν ὄλβον
ἐσθλόν, ὃς οὔτ' αὐτῷ βέλτερος οὐδὲν ἐὼν
οὔτε φίλοις. ἀρετῆς δὲ μέγα κλέος οὔποτ' ὀλεῖται·
αἰχμητὴς γὰρ ἀνὴρ γῆν τε καὶ ἄστυ σαοῖ.

πλήθει δ' ἀνθρώπων ἀρετὴ μία γίγνεται ἥδε,
πλουτεῖν· τῶν δ' ἄλλων οὐδὲν ἄρ' ἦν ὄφελος,
οὐδ' εἰ σωφροσύνην μὲν ἔχοις Ῥαδαμάνθυος αὐτοῦ,
πλείονα δ' εἰδείης Σισύφου Αἰολίδεω,
ὅςτε καὶ ἐξ Ἀΐδεω πολυϊδρίῃσιν ἀνῆλθεν,
πείσας Περσεφόνην αἱμυλίοισι λόγοις,
ἥτε βροτοῖς παρέχει λήθην βλάπτουσα νόοιο·
ἄλλος δ' οὔπω τις τοῦτό γ' ἐπεφράσατο,
ὄντινα δὴ θανάτοιο μέλαν νέφος ἀμφικαλύψῃ,
ἔλθῃ δ' ἐς κρυερὸν χῶρον ἀποφθιμένων
κυανέας τε πύλας παραμείψεται αἵτε θανόντων
ψυχὰς εἴργουσιν καίπερ ἀναινομένας·
ἀλλ' ἄρα καὶ κεῖθεν πάλιν ἤλυθε Σίσυφος ἥρως
ἐς φάος ἠελίου σφῇσι πολυφροσύναις·
οὐδ' εἰ ψεύδεα μὲν ποιοῖς ἐτύμοισιν ὁμοῖα
γλῶσσαν ἔχων ἀγαθὴν Νέστορος ἀντιθέου,
ὠκύτερος δ' εἴησθα πόδας ταχεῶν Ἁρπυιῶν
καὶ παίδων Βορέου τῶν ἄφαρ εἰσὶ πόδες.
ἀλλὰ χρὴ πάντας γνώμην ταύτην καταθέσθαι,
ὡς πλοῦτος πλείστην πᾶσιν ἔχει δύναμιν.

Οὐδεμίαν πω, Κύρν', ἀγαθοὶ πόλιν ὤλεσαν ἄνδρες,
ἀλλ' ὅταν ὑβρίζειν τοῖσι κακοῖσιν ἁδῇ
δῆμόν τε φθείρωσι δίκας τ' ἀδίκοισι διδῶσιν
οἰκείων κερδέων εἵνεκα καὶ κράτεος,
ἔλπεο μὴ δηρὸν κείνην πόλιν ἀτρεμέεσθαι,
μηδ' εἰ νῦν κεῖται πολλῇ ἐν ἡσυχίῃ,
εὖτ' ἂν τοῖσι κακοῖσι φίλ' ἀνδράσι ταῦτα γένηται,
κέρδεα δημοσίῳ σὺν κακῷ ἐρχόμενα.
ἐκ τῶν γὰρ στάσιές τε καὶ ἔμφυλοι φόνοι ἀνδρῶν.
μούναρχος δὲ πόλει μή ποτε τῇδε ἅδοι.

Ἦλθον μὲν γὰρ ἔγωγε καὶ ἐς Σικελήν ποτε γαῖαν,
ἦλθον δ' Εὐβοίης ἀμπελόεν πεδίον

Σπάρτην τ᾽ Εὐρώτα δονακοτρόφου ἀγλαὸν ἄστυ,
καί μ᾽ ἐφίλευν προφρόνως πάντες ἐπερχόμενον.
ἀλλ᾽ οὔτις μοι τέρψις ἐπὶ φρένας ἦλθεν ἐκείνων·
οὕτως οὐδὲν ἄρ᾽ ἦν φίλτερον ἄλλο πάτρης.

Κύρνε, σοφιζομένῳ μὲν ἐμοὶ σφρηγὶς ἐπικείσθω
τοῖςδ᾽ ἔπεσιν, λήσει δ᾽ οὔποτε κλεπτομένα.
οὐδέ τις ἀλλάξει κάκιον τοὐσθλοῦ παρεόντος.
ὧδε δὲ πᾶς τις ἐρεῖ· Θεύγνιδός ἐστιν ἔπη
τοῦ Μεγαρέως, πάντας δὲ κατ᾽ ἀνθρώπους ὀνομαστοῦ.
ἀστοῖσιν δ᾽ οὔπω πᾶσιν ἁδεῖν δύναμαι.

Σοὶ μὲν ἐγὼ πτέρ᾽ ἔδωκα, σὺν οἷς ἐπ᾽ ἀπείρονα πόντον
πωτήσῃ καὶ γῆν πᾶσαν ἀειρόμενος
ῥηιδίως, θοίναις δὲ καὶ εἰλαπίνῃσι παρέσσῃ
ἐν πάσαις πολλῶν κείμενος ἐν στόμασιν.
καί σε σὺν αὐλίσκοισι λιγυφθόγγοις νέοι ἄνδρες
εὐκόσμως ἐρατοὶ καλά τε καὶ λιγέα
ᾄσονται· καὶ ὅταν δνοφεροῖς ὑπὸ κεύθεσι γαίης
βῇς πολυκωκύτους εἰς Ἀΐδαο δόμους,
οὐδὲ τότ᾽ οὐδὲ θανὼν ἀπολεῖς κλέος, ἀλλὰ μελήσεις
ἄφθιτον ἀνθρώποις αἰὲν ἔχων ὄνομα,
Κύρνε, καθ᾽ Ἑλλάδα γῆν στρωφώμενος ἠδ᾽ ἀνὰ νήσους,
ἰχθυόεντα περῶν πόντον ἐπ᾽ ἀτρύγετον,
οὐχ ἵππων νώτοισιν ἐφήμενος, ἀλλά σε πέμψει
ἀγλαὰ Μουσάων δῶρα ἰοστεφάνων.
πᾶσι γὰρ οἷσι μέμηλε καὶ ἐσσομένοισιν ἀοιδὴ
ἄσῃ ὁμῶς, ὄφρ᾽ ἂν ᾖ γῆ τε καὶ ἠέλιος.

2.

Οὐδὲν θαυμαστόν, Πολυπαΐδη· οὐδὲ γὰρ ὁ Ζεὺς
οὔθ᾽ ὕων πάντας ἁνδάνει οὔτ᾽ ἀνέχων.

*Καὶ νῦν εἴσ' ἀγαθοί, Πολυπαΐδη· οἱ δὲ πρὶν ἐσθλοὶ
νῦν δειλοί. τίς κεν ταῦτ' ἀνέχοιτ' ἐςορῶν;
ἀλλήλους δ' ἀπατῶσιν ἐπ' ἀλλήλοισι γελῶντες,
οὔτε κακῶν γνώμας εἰδότες οὔτ' ἀγαθῶν.
μηδένα τῶνδε φίλον ποιεῦ, Πολυπαΐδη, ἀστῶν
ἐκ θυμοῦ χρείης εἵνεκα μηδεμιῆς,
ἀλλὰ δόκει μὲν πᾶσιν ἀπὸ γλώσσης φίλος εἶναι,
χρῆμα δὲ συμμίξῃς μηδενὶ μηδ' ὁτιοῦν
σπουδαῖον· γνώσῃ γὰρ ὀϊζυρῶν φρένας ἀνδρῶν,
ὥς σφιν ἐπ' ἔργοισιν πίστις ἔπ' οὐδεμία,
ἀλλὰ δόλους τ' ἀπάτας τε πολυπλοκίας τ' ἐφίλησαν
οὕτως ὡς ἄνδρες μηκέτι σωζόμενοι.*

*Παύρους εὑρήσεις, Πολυπαΐδη, ἄνδρας ἑταίρους
πιστοὺς ἐν χαλεποῖς πρήγμασι γιγνομένους,
οἵ τινες ἂν τολμῷεν ὁμόφρονα θυμὸν ἔχοντες
ἶσον τῶν ἀγαθῶν τῶν τε κακῶν μετέχειν.
τοὺς δ' οὐχ εὑρήσεις διζήμενος οὐδ' ἐπὶ πάντας
ἀνθρώπους, οὓς ναῦς μὴ μία πάντας ἄγοι,
οἷσιν ἐπὶ γλώσσῃ τε καὶ ὀφθαλμοῖσιν ἔπεστιν
αἰδώς, οὐδ' αἰσχρὸν χρῆμ' ἔπι κέρδος ἄγει.*

*Ὄρνιθος φωνήν, Πολυπαΐδη, ὀξὺ βοώσης
ἤκουσ', ἥτε βροτοῖς ἄγγελος ἦλθ' ἀρότου
ὡραίου· καί μοι κραδίην ἐπάταξε μέλαιναν,
ὅττι μοι εὐανθεῖς ἄλλοι ἔχουσιν ἀγρούς
οὐδέ μοι ἡμίονοι κύφων' ἕλκουσιν ἀρότρου
τῆς αἰειμνήστης εἵνεκα ναυτιλίης.*

3.

*Μοῦσαι καὶ Χάριτες, κοῦραι Διός, αἵ ποτε Κάδμου
ἐς γάμον ἐλθοῦσαι καλὸν ἀείσατ' ἔπος,
ὅττι καλὸν φίλον ἐστί, τὸ δ' οὐ καλὸν οὐ φίλον ἐστίν·
τοῦτ' ἔπος ἀθανάτων ἦλθε διὰ στομάτων.*

Κάλλιστον τὸ δικαιότατον, λῷστον δ' ὑγιαίνειν,
πρῆγμα δὲ τερπνότατον τοῦ τις ἐρᾶτο τυχεῖν.

Φόρμιγγ' αὖ φθέγγοισθ' ἱερὸν μέλος ἠδὲ καὶ αὐλῷ,
ἡμεῖς δὲ σπονδὰς θεοῖσιν ἀρεσσάμενοι
πίνωμεν, χαρίεντα μετ' ἀλλήλοισι λέγοντες,
μηδὲν τὸν Μήδων δειδιότες πόλεμον.
ὧδ' εἶναι καὶ ἄμεινον ἐΰφρονα θυμὸν ἔχοντας
νόσφι μεριμνάων εὐφροσύνως διάγειν
τερπομένους, τηλοῦ δὲ κακὰς ἀπὸ κῆρας ἀμῦναι
γῆράς τ' οὐλόμενον καὶ θανάτοιο τέλος.

Ἥβῃ τερπόμενος παίζω· δηρὸν γὰρ ἔνερθεν
γῆς ὀλέσας ψυχὴν κείσομαι ὥςτε λίθος
ἄφθογγος, λείψω δ' ἐρατὸν φάος ἠελίοιο,
ἔμπης δ' ἐσθλὸς ἐὼν ὄψομαι οὐδὲν ἔτι.

Ἡμεῖς δ' ἐν θαλίῃσι φίλον καταθώμεθα θυμόν,
ὄφρ' ἔτι τερπωλῆς ἔργ' ἐρατεινὰ φέρῃ.
αἶψα γὰρ ὥςτε νόημα παρέρχεται ἀγλαὸς ἥβη,
οὐδ' ἵππων ὁρμὴ γίγνεται ὠκυτέρη,
αἵτε ἄνακτα φέρουσι δορυσσόον ἐς πόνον ἀνδρῶν
λάβρως πυροφόρῳ τερπόμεναι πεδίῳ.

Οὐδεὶς ἀνθρώπων, ὃν πρῶτ' ἐπὶ γαῖα καλύψῃ
εἴς τ' Ἔρεβος καταβῇ, δώματα Περσεφόνης,
τέρπεται οὔτε λύρης οὔτ' αὐλητῆρος ἀκούων
οὔτε Διωνύσου δῶρ' ἐςαειράμενος.
ταῦτ' ἐςορῶν κραδίην εὖ πείσομαι, ὄφρα τ' ἐλαφρὰ
γούνατα καὶ κεφαλὴν ἀτρεμέως προφέρω.

Ὑμεῖς δ' εὖ μυθεῖσθε παρὰ κρητῆρι μένοντες,
ἀλλήλων ἔριδας δὴν ἀπερυκόμενοι,

ἐς τὸ μέσον φωνεῦντες ὁμῶς ἑνὶ καὶ σὺν ἅπασι.
χοὕτως συμπόσιον γίγνεται οὐκ ἄχαρι.

ΦΩΚΥΛΙΔΟΥ ΜΙΛΗΣΙΟΥ.

1.

Καὶ τόδε Φωκυλίδεω· Λέριοι κακοί, οὐχ ὁ μέν, ὃς δ' οὔ,
πάντες πλὴν Προκλέους, καὶ Προκλέης Λέριος.

2.

Γνήσιός εἰμι φίλος, καὶ τὸν φίλον ὡς φίλον οἶδα,
τοὺς δὲ κακοὺς διόλου πάντας ἀποστρέφομαι.
οὐδένα θωπεύω πρὸς ὑπόκρισιν· οὓς δ' ἄρα τιμῶ,
τούτους ἐξ ἀρχῆς μέχρι τέλους ἀγαπῶ.

ΑΙΣΩΠΟΥ.

Πῶς τις ἄνευ θανάτου σε φύγοι, βίε; μύρια γάρ σευ
λυγρά, καὶ οὔτε φυγεῖν εὐμαρὲς οὔτε φέρειν.
ἡδέα μὲν γάρ σου τὰ φύσει καλά, γαῖα, θάλασσα,
ἄστρα, σεληναίης κύκλα καὶ ἠελίου,
τἆλλα δὲ πάντα φόβοι τε καὶ ἄλγεα· κἤν τι πάθῃ τις
ἐσθλόν, ἀμοιβαίην ἐκδέχεται νέμεσιν.

ΣΙΜΩΝΙΔΟΥ ΚΕΙΟΥ.

1.

Οὐδὲν ἐν ἀνθρώποισι μένει χρῆμ' ἔμπεδον αἰεί,
ἓν δὲ τὸ κάλλιστον Χῖος ἔειπεν ἀνήρ,
οἵη περ φύλλων γενεή, τοιήδε καὶ ἀνδρῶν,
παῦροι μὴν θνητῶν οὔασι δεξάμενοι
στέρνοις ἐγκατέθεντο· πάρεστι γὰρ ἐλπὶς ἑκάστῳ

ἀνδρῶν ἧτε νέων στήθεσιν ἐμφύεται.
θνητῶν δ' ὄφρα τις ἄνθος ἔχῃ πολυήρατον ἥβης,
κοῦφον ἔχων θυμὸν πόλλ' ἀτέλεστα νοεῖ.
οὔτε γὰρ ἐλπίδ' ἔχει γηρασέμεν οὔτε θανεῖσθαι,
οὐδ' ὑγιὴς ὅταν ᾖ φροντίδ' ἔχει καμάτου.
νήπιοι, οἷς ταύτῃ κεῖται νόος, οὐδὲ ἴσασιν
ὡς χρόνος ἔσθ' ἥβης καὶ βιοτῆς ὀλίγος
θνητοῖς. ἀλλὰ σὺ ταῦτα μαθὼν βιότου ποτὶ τέρμα
ψυχῇ τῶν ἀγαθῶν τλῆθι χαριζόμενος.

2.

Ἠερίη Γεράνεια, κακὸν λέπας, ὤφελες Ἴστρον
τῆλε καὶ ἐκ Σκυθέων μακρὸν ὁρᾶν Τάναϊν,
μηδὲ πέλας ναίειν Σκειρωνικὸν οἶδμα θαλάσσης
ἄγκεα νιφομένης ἀμφὶ Μεθουριάδος.

. . . .

. . . .

νῦν δ' ὁ μὲν ἐν πόντῳ κρυερὸς νέκυς, οἱ δὲ βαρεῖαν
ναυτιλίην κενεοὶ τῇδε βοῶσι τάφοι.

3.

Αἲ αἴ, νοῦσε βαρεῖα, τί δὴ ψυχαῖσι μεγαίρεις
ἀνθρώπων ἐρατῷ πὰρ νεότητι μένειν;
ἦ καὶ Τίμαρχον γλυκερῆς αἰῶνος ἄμερσας
ἠίθεον πρὶν ἰδεῖν κουριδίην ἄλοχον.

. . . .

. . . .

φῆ τότε Τίμαρχος πατρὸς χερὶ χεῖρας ἔχοντος,
ἡνίκ' ἀφ' ἱμερτὴν ἔπνεεν ἡλικίην·
ὦ Τιμηνορίδη, παιδὸς φίλου οὔποτε λήσῃ
οὔτ' ἀρετὴν ποθέων οὔτε σαοφροσύνην.

4.

Ὕστατα δὴ τάδ' ἔειπε φίλην ποτὶ μητέρα Γοργὼ
δακρυόεσσα δέρης χερσὶν ἐφαπτομένη·
αὖθι μένοις παρὰ πατρί, τέκοις δ' ἐπὶ λῴονι μοίρᾳ
ἄλλην σῷ πολιῷ γήραϊ κηδεμόνα.

5.

Μέσσοι δ' οἵ τ' Ἐφύρην πολυπίδακα ναιετάοντες,
παντοίης ἀρετῆς ἴδριες ἐν πολέμῳ,
οἵ τε πόλιν Γλαύκοιο Κορίνθιον ἄστυ νέμοντες.
οἷον κάλλιστον μάρτυν ἔθεντο πόνων
χρυσοῦ τιμήεντος ἐν αἰθέρι· καί σφιν ἀέξει
αὐτῶν τ' εὐρεῖαν κληδόνα καὶ πατέρων.
ξεινοδόκων γὰρ ἄριστος ὁ χρυσὸς ἐν αἰθέρι λαμπρός.

. . . .

ΙΩΝΟΣ ΧΙΟΥ.

1.

– ⏑⏑ – ⏑⏑ – ἡμετέρῳ δὲ χορῷ,
θυρσοφόροισι φίλος μέγα πρεσβεύων Διόνυσος·
αὕτη γὰρ πρόφασις παντοδαπῶν λογίων,
αἵ τε Πανελλήνων ἀγοραὶ θαλίαι τε ἀνάκτων,
ἐξ οὗ βοτρυόεσσ' οἰνὰς ὑποχθόνιον
πτόρθον ἀνασχομένη θαλερῷ ἐξήψατο πήχει
αἰθέρος· ὀφθαλμῶν δ' ἐξέθορον πυκινοὶ
παῖδες, φωνήεντες ὅταν πέσῃ ἄλλος ἐπ' ἄλλῳ,
πρὶν δὲ σιωπῶσιν· παυσάμενοι δὲ βοῆς
νέκταρ ἀμέλγονται, μόνον ὄλβιον ἀνθρώποισιν
ξυνὸν τοῦ χαίρειν φάρμακον αὐτοφυές.
τοῦ θαλίαι φίλα τέκνα φιλοφροσύναι τε χοροί τε·
τῶν ἀγαθῶν βασιλεὺς οἶνος ἔδειξε φύσιν.
τοῦ σὺ, πάτερ Διόνυσε, φιλοστεφάνοισιν ἀρέσκων
ἀνδράσιν, εὐθύμων συμποσίων πρύτανι,
χαῖρε, δίδου δ' αἰῶνα, καλῶν ἐπιήρανε ἔργων,
πίνειν καὶ παίζειν καὶ τὰ δίκαια φρονεῖν.

2.

Χαιρέτω ἡμέτερος βασιλεὺς σωτήρ τε πατήρ τε,
ἡμῖν δὲ κρητῆρ' οἰνοχόοι θέραπες
κιρνάντων προχύταισιν ἐν ἀργυρέοις, ὁ δὲ Χρυσὸς

οἶνον ἔχων χειροῖν νιζέτω εἰς ἔδαφος,
σπένδοντες δ' ἁγνῶς Ἡρακλέϊ τ' Ἀλκμήνῃ τε,
Προκλέϊ Περσείδαις τ', ἐκ Διὸς ἀρχόμενοι,
πίνωμεν, παίζωμεν, ἴτω διὰ νυκτὸς ἀοιδή,
ὀρχείσθω τις· ἑκὼν δ' ἄρχε φιλοφροσύνης.
ὅντινα δ' εὐειδὴς μίμνει θήλεια πάρευνος,
κεῖνος τῶν ἄλλων ἀδρότερον πίεται.

3.

Ὡς ὁ μὲν ἠνορέῃ τε κεκασμένος ἠδὲ καὶ αἰδοῖ
καὶ φθίμενος ψυχῇ τερπνὸν ἔχει βίοτον,
εἴπερ Πυθαγόρης ἐτύμως ὁ σοφὸς περὶ πάντων
ἀνθρώπων γνώμας εἶδε καὶ ἐξέμαθεν.

ΕΥΗΝΟΥ ΠΑΡΙΟΥ.

1.

Βάκχου μέτρον ἄριστον ὃ μὴ πολὺ μηδ' ἐλάχιστον·
ἐστὶ γὰρ ἢ λύπης αἴτιος ἢ μανίης.
χαίρει κιρνάμενος δὲ τρισὶν Νύμφαισι τέταρτος·
τῆμος καὶ θαλάμοις ἐστὶν ἑτοιμότατος.
εἰ δὲ πολὺς πνεύσειεν, ἀπέστραπται μὲν Ἔρωτας,
βαπτίζει δ' ὕπνῳ γείτονι τῷ θανάτου.

2.

Μηδένα μήτ' ἀέκοντα μένειν κατέρυκε παρ' ἡμῖν,
μήτε θύραζε κέλευ' οὐκ ἐθέλοντ' ἰέναι,
μήθ' εὕδοντ' ἐπέγειρε, Σιμωνίδη, ὅντιν' ἂν ἡμῶν
θωμιχθέντ' οἴνῳ μαλθακὸς ὕπνος ἕλῃ,
μήτε τὸν ἀγρυπνέοντα κέλευ' ἀέκοντα καθεύδειν·
πᾶν γὰρ ἀναγκαῖον χρῆμ' ἀνιηρὸν ἔφυ.
τῷ πίνειν δ' ἐθέλοντι παρασταδὸν οἰνοχοείτω·
οὐ πάσας νύκτας γίγνεται ἁβρὰ παθεῖν.
αὐτὰρ ἐγώ, μέτρον γὰρ ἔχω μελιηδέος οἴνου,
ὕπνου λυσικάκου μνήσομαι οἴκαδ' ἰών.

3.

Πολλοῖς ἀντιλέγειν μὲν ἔθος περὶ παντὸς ὁμοίως,
ὀρθῶς δ' ἀντιλέγειν οὐκ ἔτι τοῦτ' ἐν ἔθει.
καὶ πρὸς μὲν τούτους ἀρκεῖ λόγος εἷς ὁ παλαιός·
σοὶ μὲν ταῦτα δοκοῦντ' ἔστω, ἐμοὶ δὲ τάδε.
τοὺς ξυνετοὺς δ' ἄν τις πείσειε τάχιστα λέγων εὖ,
οἵπερ καὶ ῥᾴστης εἰσὶ διδασκαλίης.

4.

Πολλάκις ἀνθρώπων ὀργὴ νόον ἐξεκάλυψε
κρυπτόμενον, μανίης πουλὺ χερειότερον.

5.

Ἡγοῦμαι σοφίης εἶναι μέρος οὐκ ἐλάχιστον
ὀρθῶς γιγνώσκειν οἷος ἕκαστος ἀνήρ.

6.

Πρὸς σοφίᾳ μὲν ἔχειν τόλμην μάλα σύμφορόν ἐστιν,
χωρὶς δὲ βλαβερή, καὶ κακότητα φέρει,

7.

Εἰ μισεῖν πόνος ἐστί, φιλεῖν πόνος, ἐκ δύο λυγρῶν
αἱροῦμαι χρηστῆς ἕλκος ἔχειν ὀδύνης.

ΔΙΟΝΥΣΙΟΥ ΑΘΗΝΑΙΟΥ ΤΟΥ ΧΑΛΚΟΥ.

1.

Ὦ Θεόδωρε, δέχου τήνδε προπινομένην
τὴν ἀπ' ἐμοῦ ποίησιν· ἐγὼ δ' ἐπιδέξια πέμπω
σοὶ πρώτῳ Χαρίτων ἐγκεράσας χάριτας.
καὶ σὺ λαβὼν τόδε δῶρον ἀοιδὰς ἀντιπρόπιθι,
συμπόσιον κοσμῶν καὶ τὸ σὸν εὖ θέμενος.

2.

Ἀγγελίης ἀγαθῆς δεῦρ' ἴτε πευσόμενοι,
καὶ κυλίκων ἔριδας διαλύσατε, καὶ κατάθεσθε
τὴν ξύνεσιν παρ' ἐμοί, καὶ τάδε μανθάνετε.

3.

Κότταβον ἐνθάδε σοὶ τρίτον ἑστάναι οἱ δυςέρωτες
ἡμεῖς προςτίθεμεν γυμνασίῳ Βρομίου
κώρυκον· οἱ δὲ παρόντες ἐνείρετε χεῖρας ἅπαντες
ἐς σφαίρας κυλίκων, καὶ πρὶν ἐκεῖνον ἰδεῖν
ὄμματι βηματίσαισθε τὸν αἰθέρα τὸν κατὰ κλίνην,
εἰς ὅσον αἱ λάταγες χωρίον ἐκτέταται.

4.

Ὕμνους οἰνοχοεῖν ἐπιδέξια σοί τε καὶ ἡμῖν
τόνδε σὸν ἀρχαῖον τηλεδαπόν τε φίλον
εἰρεσίῃ γλώσσης ἀποπέμψομεν εἰς μέγαν αἶνον
τοῦδ᾽ ἐπὶ συμποσίου· δεξιότης τε λόγου
Φαίακας Μουσῶν ἐρέτας ἐπὶ σέλματα πέμπει.

5.

καί τινες οἶνον ἄγοντες ἐν εἰρεσίῃ Διονύσου,
συμποσίου ναῦται καὶ κυλίκων ἐρέται.

ΕΥΡΙΠΙΔΟΥ ΣΑΛΑΜΙΝΙΟΥ.

1.

Οἵδε Συρακοσίους ὀκτὼ νίκας ἐκράτησαν
ἄνδρες, ὅτ᾽ ἦν τὰ θεῶν ἐξ ἴσου ἀμφοτέροις.

2.

Ἰλίῳ αἰπεινᾷ Πάρις οὐ γάμον ἀλλά τιν᾽ ἄταν
ἠγάγετ᾽ εὐναίαν εἰς θαλάμους Ἑλέναν,
ἇς ἕνεκ᾽, ὦ Τροία, δορὶ καὶ πυρὶ δηιάλωτον
εἷλέ σ᾽ ὁ χιλιόναυς Ἑλλάδος ὠκὺς Ἄρης
καὶ τὸν ἐμὸν μελέας πόσιν Ἕκτορα, τὸν περὶ τείχη
εἵλκυσε διφρεύων παῖς ἁλίας Θέτιδος.
αὐτὰ δ᾽ ἐκ θαλάμων ἀγόμαν ἐπὶ θῖνα θαλάσσας
δουλοσύναν στυγερὰν ἀμφιβαλοῦσα κάρᾳ.

πολλὰ δὲ δάκρυά μοι κατέβα χροός, ἀνίκ᾽ ἔλειπον
ἄστυ τε καὶ θαλάμους καὶ πόσιν ἐν κονίαις.
ὤ μοι ἐγὼ μελέα, τί μ᾽ ἐχρῆν ἔτι φέγγος ὁρᾶσθαι
Ἑρμιόνας δούλαν; ἅς ὕπο τειρομένα
πρὸς τόδ᾽ ἄγαλμα θεᾶς ἱκέτις περὶ χεῖρε βαλοῦσα
τάκομαι ὡς πετρίνα πιδακόεσσα λιβάς.

ΣΩΚΡΑΤΟΥΣ ΑΘΗΝΑΙΟΥ.

1.

Αἴσωπός ποτ᾽ ἔλεξε Κορίνθιον ἄστυ νέμουσιν
μὴ κρίνειν ἀρετὴν λαοδίκῳ σοφίῃ.

2.

Οἳ δὲ χοροῖς κάλλιστα θεοὺς τιμῶσιν ἄριστοι
ἐν πολέμῳ ⏑⏑– –⏑⏑ –⏑⏑ –

ΚΡΙΤΙΟΥ ΑΘΗΝΑΙΟΥ.

1.

Κότταβος ἐκ Σικελῆς ἐστι χθονός, ἐκπρεπὲς ἔργον,
ὃν σκοπὸν ἐς λατάγων τόξα καθιστάμεθα.
εἶτα δ᾽ ὄχος Σικελός, κάλλει δαπάνῃ τε κράτιστος.
. . . .
Θεσσαλικὸς δὲ θρόνος γυίων τρυφερωτάτη ἕδρα·
εὐναίου δὲ λέχους ἔξοχα κάλλος ἔχει
Μίλητός τε Χίος τ᾽ ἔναλος πόλις Οἰνοπίωνος·
Τυρσηνὴ δὲ κρατεῖ χρυσότυπος φιάλη,
καὶ πᾶς χαλκὸς ὅτις κοσμεῖ δόμον ἔν τινι χρείᾳ·
Φοίνικες δ᾽ εὗρον γράμματ᾽ ἀλεξίλογα·
Θήβη δ᾽ ἁρματόεντα δίφρον συνεπήξατο πρώτη,

φορτηγοὺς δ' ἀκάτους Κᾶρες ἁλὸς ταμίαι·
τὸν δὲ τροχοῦ γαίης τε καμίνου τ' ἔκγονον εὗρεν,
κλεινότατον κέραμον, χρήσιμον, οἰκονόμον,
ἡ τὸ καλὸν Μαραθῶνι καταστήσασα τρόπαιον.

2.

Καὶ τόδ' ἔθος Σπάρτῃ μελέτημά τε κείμενόν ἐστιν,
πίνειν τὴν αὐτῷ οἰνοφόρον κύλικα,
μηδ' ἀποδωρεῖσθαι προπόσεις ὀνομαστὶ λέγοντα,
μηδ' ἐπὶ δεξιτέραν χεῖρα κυκλοῦν Θασίου.
ἄγγεα δ' οἰναχθῆ λάβροις χείλεσσιν ἀφύσσειν
εἴθισται Λυδὴ χεὶρ Ἀσιατογενὴς
καὶ προπόσεις ὀρέγειν ἐπιδέξια καὶ προκαλεῖσθαι
ἐξονομακλήδην ᾧ προπιεῖν ἐθέλει·
εἶτ' ἀπὸ τοιούτων πόσεων γλώσσας τε λύουσιν
εἰς αἰσχροὺς μύθους, σῶμά τ' ἀμαυρότερον
τεύχουσιν, πρὸς δ' ὄμμ' ἀχλὺς ἀμβλωπὸς ἐφίζει,
λῆσις δ' ἐκτήκει μνημοσύνην πραπίδων,
νοῦς δὲ παρέσφαλται, δμῶες δ' ἀκόλαστον ἔχουσιν
ἦθος, ἐπειςπίπτει δ' οἰκοτριβὴς δαπάνη.
οἱ Λακεδαιμονίων δὲ κόροι πίνουσι τοσοῦτον
ὥςτε φρέν' εἰς ἱλαρὰν ἀσπίδα πάντ' ἀπάγειν
εἴς τε φιλοφροσύνην γλῶτταν μέτριόν τε γέλωτα.
τοιαύτη δὲ πόσις σώματί τ' ὠφέλιμος
γνώμῃ τε κτήσει τε, καλῶς δ' εἰς ἔργ' Ἀφροδίτης
πρός θ' ὕπνον ἥρμοσται, τὸν καμάτων λιμένα,
πρὸς τὴν τερπνοτάτην τε θεῶν θνητοῖς Ὑγίειαν
καὶ τὴν Εὐσεβίης γείτονα Σωφροσύνην.

. . . .

αἱ γὰρ ὑπὲρ τὸ μέτρον κυλίκων προπόσεις παραχρῆμα
τέρψασαι λυποῦσ' εἰς τὸν ἅπαντα χρόνον.
ἡ Λακεδαιμονίων δὲ δίαιθ' ὁμαλῶς διάκειται,
ἔσθειν καὶ πίνειν σύμμετρα πρὸς τὸ φρονεῖν
καὶ τὸ πονεῖν εἶναι δυνατούς· οὐκ ἔστ' ἀπότακτος
ἡμέρα οἰνῶσαι σῶμ' ἀμέτροισι πότοις.

3.

Καὶ νῦν Κλεινίου υἱὸν Ἀθηναῖον στεφανώσω
Ἀλκιβιάδην νέοισιν ὑμνήσας τρόποις·
οὐ γάρ πως ἦν τοὔνομ' ἐφαρμόζειν ἐλεγείῳ,
νῦν δ' ἐν ἰαμβείῳ κείσεται οὐκ ἀμέτρως.

. . . .

γνώμη δ' ᾗ σε κατήγαγ', ἐγὼ ταύτην ἐν ἅπασιν
εἶπον καὶ γράψας τοὖργον ἔδρασα τόδε.
σφρηγὶς δ' ἡμετέρης γλώττης ἐπὶ τοῖςδεσι κεῖται.

ΑΝΤΙΜΑΧΟΥ ΚΟΛΟΦΩΝΙΟΥ.

1.

Φεύγοντες γαίης ἔκτοθι Δωτιάδος.

2.

Ἔνθα Καβάρνους θῆκεν ἀγακλέας ὀργείωνας.

3.

Εἶπε δὲ φωνήσας· Πόλυβε, θρεπτήρια τούςδε
ἵππους τοι δώσω δυςμενέων ἐλάσας.

4.

⊥ ⏑⏑ ⊥ τότε δὴ εὔχρεῳ ἐν δέπαϊ
Ἠέλιον πόμπευεν ἀγακλυμένη Ἐρύθεια.

5.

Ἠΰτε τις καύηξ δύπτης εἰς ἁλμυρὸν ὕδωρ.

ΑΡΙΣΤΟΤΕΛΟΥΣ ΣΤΑΓΕΙΡΙΤΟΥ.

. . . .

ἐλθὼν δ' ἐς κλεινὸν Κεκροπίης δάπεδον

εὐσεβέως σεμνῆς φιλίης ἱδρύσατο βωμὸν
ἀνδρὸς ὃν οὐδ' αἰνεῖν τοῖσι κακοῖσι θέμις,
ὃς μόνος ἢ πρῶτος θνητῶν κατέδειξεν ἐναργῶς
οἰκείῳ τε βίῳ καὶ μεθόδοισι λόγων,
ὡς ἀγαθός τε καὶ εὐδαίμων ἅμα γίνεται ἀνήρ·
οὐ νῦν δ' ἔστι λαβεῖν οὐδενὶ ταῦτα ποτέ.

ΚΡΑΤΗΤΟΣ ΘΗΒΑΙΟΥ.

1.

Μνημοσύνης καὶ Ζηνὸς Ὀλυμπίου ἀγλαὰ τέκνα,
Μοῦσαι Πιερίδες, κλῦτέ μοι εὐχομένῳ.
χόρτον ἐμῇ συνεχῶς δότε γαστέρι, ἥτε μοι αἰεὶ
χωρὶς δουλοσύνης λιτὸν ἔθηκε βίον.
. . . .
ὠφέλιμον δὲ φίλοις, μὴ γλυκερὸν τίθετε.
χρήματα δ' οὐκ ἐθέλω συνάγειν κλυτά, Κανθάρου οἶτον
μύρμηκός τ' ἄφενος, χρήματα μαιόμενος,
ἀλλὰ δικαιοσύνης μετέχειν καὶ πλοῦτον ἀγινεῖν
εὔφορον, εὔκτητον, τίμιον εἰς ἀρετήν.
τῶν δὲ τυχὼν Ἑρμῆν καὶ Μούσας ἱλάσομ' ἁγνάς,
οὐ δαπάναις τρυφεραῖς, ἀλλ' ἀρεταῖς ὁσίαις.

2.

Ποίην τις βιότοιο τάμῃ τρίβον; εἰν ἀγορῇ μὲν
νείκεα καὶ χαλεπαὶ πρήξιες, ἐν δὲ δόμοις
φροντίδες, ἐν δ' ἀγροῖς καμάτων ἅλις, ἐν δὲ θαλάσσῃ
τάρβος, ἐπὶ ξείνης δ' ἢν μὲν ἔχῃς τι, δέος,
ἢν δ' ἀπορῇς, ἀνιαρόν· ἔχεις γάμον, οὐκ ἀμέριμνος
ἔσσεαι· οὐ γαμέεις, ζήσῃ ἐρημότερος.
τέκνα πόνοι, πήρωσις ἄπαις βίος· αἱ νεότητες
ἄφρονες, αἱ πολιαὶ δ' ἔμπαλιν ἀδρανέες.
ἦν δ' ἄρα τῶν πάντων τόδε λώιον, ἠὲ γενέσθαι
μήποτε ἠὲ θανεῖν αὐτίκα τικτόμενον.

3.

Χαῖρε, θεὰ δέσποινα, σοφῶν ἀνδρῶν ἀγάπημα,
Εὐτελίη, κλεινῆς ἔγγονε Σωφροσύνης,
σὴν ἀρετὴν τιμῶσιν ὅσοι τὰ δίκαι᾽ ἀσκοῦσιν.

ΦΙΛΗΤΟΥ ΚΩΙΟΥ.

1.

Ἀλλ᾽ ὅτ᾽ ἐπὶ χρόνος ἔλθῃ, ὅς ἐκ Διὸς ἄλγεα πέσσειν
ἔλλαχε καὶ πένθεων φάρμακα μοῦνος ἔχει.

. . . .

καὶ γάρ τις μελέοιο κορεσσάμενος κλαυθμοῖο
κήδεα δειλαίων εἷλεν ἀπὸ πραπίδων.

. . . .

νῦν δ᾽ αἰεὶ πέσσω, τὸ δ᾽ ἀέξεται ἄλλο νεωρὲς
πῆμα, κακοῦ δ᾽ οὔπω γίγνεται ἡσυχίη.

2.

Οὔ μέ τις ἐξ ὀρέων ἀποφώλιος ἀγροιώτης
αἱρήσει κλῄθρην αἱρόμενος μακέλην,
ἀλλ᾽ ἐπέων εἰδὼς κόσμον καὶ πολλὰ μογήσας,
μύθων παντοίων οἶμον ἐπιστάμενος.

. . . .

Ἐκ θυμοῦ κλαῦσαί με τὰ μέτρια καί τι προσηνὲς
εἰπεῖν, μεμνῆσθαί τ᾽ οὐκ ἔτ᾽ ἐόντος ὁμῶς.

3.

Πτοιοῦμαι πολέων γαίης ὕπερ ἠδὲ θαλάσσης
ἐκ Διὸς ὡραίων ἐρχομένων ἐτέων·
οὐδ᾽ ἀπὸ μοῖρα κακῶν μελέῳ φέρει, ἀλλὰ μένουσιν
ἔμπεδα, καὶ τοῖσιν ἄλλα προσαυξάνεται.

ΕΡΜΗΣΙΑΝΑΚΤΟΣ ΚΟΛΟΦΩΝΙΟΥ.

Οἵην μὲν φίλος υἱὸς ἀνήγαγεν Οἰάγροιο
 Ἀγριόπην Θρῇσσαν στειλάμενος κιθάρην
Ἀιδόθεν, ἔπλευσεν δὲ κακὸν καὶ ἀπειθέα χῶρον,
 ἔνθα Χάρων ἀόκνην ἕλκεται εἰς ἄκατον
ψυχὰς οἰχομένων, λίμνη δ' ἔπι μακρὸν ἀΰτεῖ
 ῥεῦμα διὲκ μεγάλων ῥυομένη δονάκων.
ἀλλ' ἔτλη παρὰ κῦμα μονόζωστος κιθαρίζων
 Ὀρφεύς, παντοίους δ' ἐξανέπεισε θεούς,
Κώκυτόν τ' ἀθέμιστον ἐπ' ὀφρύσι μειδήσαντα,
 ἠδὲ καὶ αἰνοτάτου βλέμμ' ὑπέμεινε κυνός,
ἐν πυρὶ μὲν φωνὴν τεθοωμένου, ἐν πυρὶ δ' ὄμμα
 σκληρὸν τριστοίχοις δεῖμα φέρον κεφαλαῖς.
ἔνθεν ἀοιδιάων μεγάλους ἀνέπεισεν ἄνακτας
 Ἀγριόπην μαλακοῦ πνεῦμα λαβεῖν βιότου.
οὐ μὴν οὐδ' υἱὸς Μήνης ἀγέραστον ἔθηκεν
 Μουσαῖος, Χαρίτων ἤρανος, Ἀντιόπην,
ἥτε πολὺν μύστῃσιν Ἐλευσῖνος παρὰ πέζαν
 εὐασμὸν κρυφίων ἐξεφόρει λογίων,
Ῥάριον ὄργι' ἀνὰ τέμενος διαποιπνύουσα
 Δημήτρα, γνωστὴ δ' ἐστι καὶ εἰν Ἀΐδῃ.
φημὶ δὲ καὶ Βοιωτὸν ἀποπρολιπόντα μέλαθρον
 Ἡσίοδον, πάσης ἤρανον ἱστορίης,
Ἀσκραίων ἐςικέσθαι ἑκόνθ' Ἑλικωνίδα κώμην,
 ἔνθεν ὅγ' Ἠοίην μνώμενος Ἀσκραΐκὴν
πόλλ' ἔπαθεν, πάσας δὲ λόγων ἀνεγράψατο βίβλους,
 ὕμνων ἐκ πρώτης παιδὸς ἀπαρχόμενος.
αὐτὸς δ' οὗτος ἀοιδός, ὃν ἐκ Διὸς αἶσα φυλάσσει
 ἥδιστον πάντων δαίμονα μουσοπόλων,
λεπτὴν εἰς Ἰθάκην ἀνετείνετο θεῖος Ὅμηρος
 ᾠδῇσιν πινυτῆς εἵνεκα Πηνελόπης,
ἣν διὰ πολλὰ παθὼν ὀλίγην ἐςενάσσατο νῆσον,
 πολλὸν ἀπ' εὐρείης λειπόμενος πατρίδος·

κλαῖεν δ' Ἰκαρίου τε γένος καὶ δῆμον Ἀμύκλου
καὶ Σπάρτην ἰδίων ἁπτόμενος παθέων.
Μίμνερμος δὲ τὸν ἡδὺν ὃς εὕρετο πολλὸν ἀνατλὰς
ἦχον καὶ μαλακοῦ πνεῦμ' ἀπὸ πενταμέτρου
καίετο μὲν Ναννοῦς, πολιῷ δ' ἐπὶ πολλάκι λωτῷ
κημωθεὶς κώμους στεῖχε συνεξανύειν,
ἤχθη δ' Ἑρμόβιον τὸν ἀεὶ βαρὺν ἠδὲ Φερέκλην
ἐχθρὸν μισήσας οἷ' ἀνέπεμψεν ἔπη.
Λύδης δ' Ἀντίμαχος Λυδηΐδος ἐκ μὲν ἔρωτος
πληγεὶς Πακτωλοῦ ῥεῦμ' ἐπέβη ποταμοῦ,
Σαρδιανὴν δὲ θανοῦσαν ὑπὸ ξηρὴν θέτο γαῖαν,
Τμώλιον αἶζαον δ' ἦλθεν ἀποπρολιπὼν
ἄκρην ἐς Κολοφῶνα, γόων δ' ἐνεπλήσατο βίβλους
ἱεράς, ἐκ παντὸς παυσάμενος καμάτου.
Λέσβιος Ἀλκαῖος δὲ πόσους ἀνεδέξατο κώμους
Σαπφοῦς φορμίζων ἱμερόεντα πόθον
γιγνώσκεις· ὁ δ' ἀοιδὸς ἀηδόνος ἠράσαθ' ὕμνων
Τήιον ἀλγύνων ἄνδρα πολυφραδίῃ.
καὶ γὰρ τὴν ὁ μελιχρὸς ἐφωμίλησ' Ἀνακρείων
στελλομένην πολλαῖς ἅμμιγα Λεσβιάσιν,
φοίτα δ' ἄλλοτε μὲν λείπων Σάμον ἄλλοτε δ' αὐτὴν
οἰνηρὴν δούρειν κεκλιμένην πατρίδα,
Λέσβον ἐς εὔοινον, τὸ δὲ Μύσιον εἴσιδε Λεκτὸν
πολλάκις Αἰολικοῦ κύματος ἀντιπέρας.
Ἀτθὶς δ' οἷα μέλισσα πολυπρήωνα Κολώνην
λείπουσ' ἐν τραγικαῖς ᾖδε χοροστασίαις
Βάκχον καὶ τὸν ἔρωτ' ἀνέγειρε Θεωρίδος ⏊ ⏑
⏊⏑⏑ ⏊⏑⏑ ⏊ Ζεὺς ἔπορεν Σοφοκλεῖ.
φημὶ δὲ κἀκεῖνον τὸν ἀεὶ πεφυλαγμένον ἄνδρα
καὶ σπανίων μῖσος κτώμενον ἐκ συνόδων
πάσας ἀμφὶ γυναῖκας, ὑπὸ σκολιοῖο τυπέντα
τόξου, νυκτερινὰς οὐκ ἀποθέσθ' ὀδύνας·
ἀλλὰ Μακηδονίης πάσας κατενίσατο λαύρας
Αἰγειῶν, μέθεπεν δ' Ἀρχέλεω ταμίην

εἰςόκε σοὶ δαίμων, Εὐριπίδη, εὗρεν ὄλεθρον
Ἀμφιβίου στυγνῶν ἀντιάσαντι κυνῶν.
ἄνδρα δὲ τὸν Κυθέρηθεν ἀνεθρέψαντο τιθῆναι
Βάκχου καὶ λωτοῦ πιστότατον ταμίην
Μοῦσαι παιδευθέντα Φιλόξενον, οἷα τιναχθεὶς
ὠρυγῇ ταύτης ἦλθε διὰ πτόλεως,
γιγνώσκεις ἀΐουσα μέγαν πόθον ὃν Γαλατείης
αὐτοῖς μηλείοις θῆκαθ᾽ ὑπὸ προγόνοις.
οἶσθα δὲ καὶ τὸν ἀοιδόν, ὃν Εὐρυπύλου πολιῆται
Κῷοι χάλκειον θῆκαν ὑπὸ πλατάνῳ,
Βιττίδα μολπάζοντα θοήν, περὶ πάντα Φιλητᾶν
ῥήματα καὶ πᾶσαν ῥυόμενον λαλιήν.
οὐδὲ μὲν οὐδ᾽ ὁπόσοι σκληρὸν βίον ἐστήσαντο
ἀνθρώπων σκολιὴν μαιόμενοι σοφίην,
οὓς αὐτὴ περὶ πικρὰ λόγοις ἐσφίγξατο μῆτις
καὶ δεινὴ μύθων κῆδος ἔχουσ᾽ ἀρετή,
οὐδ᾽ οἳ δεινὸν ἔρωτος ἀπετρέψαντο κυδοιμόν,
φθανόμενοι δεινὸν δ᾽ ἦλθον ὑφ᾽ ἡνίοχον.
οἵη μὲν Σάμιον μανίη κατέδησε Θεανοῦς
Πυθαγόρην ἑλίκων κομψὰ γεωμετρίης
εὑρόμενον καὶ κύκλον ὅσον περιβάλλεται αἰθὴρ
βαιῇ ἐνὶ σφαίρῃ πάντ᾽ ἀπατασσόμενον.
οἵῳ δ᾽ ἐχλίηνεν ὃν ἔξοχον ἔχρη Ἀπόλλων
ἀνθρώπων εἶναι Σωκράτη ἐν σοφίῃ
Κύπρις μηνίουσα πυρὸς μένει, ἐκ δὲ βαθείης
ψυχῆς κουφοτέρας ἐξεπόνησ᾽ ἀνίας
οἰκί᾽ ἐς Ἀσπασίης πωλεύμενος, οὐδέ τι τέκμαρ
εὗρε λόγῳ πολλὰς εὑρόμενος διόδους.
ἄνδρα Κυρηναῖον δ᾽ εἴσω πόθος ἔσπασεν Ἰσθμοῦ
δεινόν, ὅ τ᾽ ἀπιθάνης Λαΐδος ἠράσατο
ὀξὺς Ἀρίστιππος, πάσας δ᾽ ἠνήνατο λέσχας
φεύγων, οὐδ᾽ ἀπέχων ἐξ Ἐφύρης ἐβίω.

ΦΑΝΟΚΛΕΟΥΣ.

Ἢ ὡς Οἰάγροιο πάϊς Θρηίκιος Ὀρφεὺς
ἐκ θυμοῦ Κάλαϊν στέρξε Βορηιάδην,
πολλάκι δὲ σκιεροῖσιν ἐν ἄλσεσιν ἕζετ' ἀείδων
ὃν πόθον, οὐδέ οἱ ἦν θυμὸς ἐν ἡσυχίῃ,
ἀλλ' αἰεί μιν ἄγρυπνοι ὑπὸ ψυχὴν μελεδῶναι
ἔτρυχον θαλερὸν δερκομένου Κάλαϊν.
τὸν μὲν Βιστονίδες κακομήχανοι ἀμφιχυθεῖσαι
ἔκτανον, εὐήκη φάσγανα θηξάμενοι,
οὕνεκα πρῶτος δεῖξεν ἐνὶ Θρήκεσσιν ἔρωτας
ἄῤῥενας οὐδὲ πόθους ᾔνεσε θηλυτέρων.
τοῦ δ' ἀπὸ μὲν κεφαλὴν χαλκῷ τάμον, αὐτίκα δ' αὐτὴν
εἰς ἅλα Θρηικίην ῥίψαν ὁμοῦ χέλυϊ
ἥλῳ καρτύνασαι, ἵν' ἐμφορέοιντο θαλάσσῃ
ἄμφω ἅμα, γλαυκοῖς τεγγόμεναι ῥοθίοις.
τὰς δ' ἱερῇ Λέσβῳ πολιὴ ἐπέκελσε θάλασσα,
ἠχὴ δ' ὣς λιγυρῆς πόντον ἐπέσχε λύρης
νήσους τ' αἰγιαλούς θ' ἁλιμυρέας, ἔνθα λίγειαν
ἀνέρες Ὀρφείην ἐκτέρισαν κεφαλήν,
ἐν δὲ χέλυν τύμβῳ λιγυρὴν θέσαν, ἣ καὶ ἀναύδους
πέτρας καὶ Φόρκου στυγνὸν ἔπειθε ὕδωρ.
ἐκ κείνου μολπαί τε καὶ ἱμερτὴ κιθαριστὺς
νῆσον ἔχει, πασέων δ' ἐστὶν ἀοιδοτάτη.
Θρῆκες δ' ὡς ἐδάησαν Ἀρήιοι ἔργα γυναικῶν
ἄγρια καὶ πάντας δεινὸν ἐςῆλθεν ἄχος,
ἃς ἀλόχους ἔστιζον, ἵν' ἐν χροΐ σήματ' ἔχουσαι
κυάνεα στυγεροῦ μὴ λελάθοιντο φόνου.
ποινὰς δ' Ὀρφῆι κταμένῳ στίζουσι γυναῖκας
εἰς ἔτι νῦν κείνης εἵνεκεν ἀμπλακίης.

ΘΕΟΚΡΙΤΟΥ ΣΥΡΑΚΟΥΣΙΟΥ.

1.

ΜΕΝΑΛΚΑΣ.

Ἄγκεα καὶ ποταμοί, θεῖον γένος, αἴ τι Μενάλκας
πάποχ' ὁ συρικτὰς προςφιλὲς ᾇσε μέλος,
βόσκοιτ' ἐκ ψυχᾶς τὰς ἀμνίδας· ἢν δέ ποκ' ἔνθῃ
Δάφνις ἔχων δαμάλας, μηδὲν ἔλασσον ἔχοι.

ΔΑΦΝΙΣ.

Κρᾶναι καὶ βοτάναι, γλυκερὸν φυτόν· αἴπερ ὅμοιον
μουσίσδει Δάφνις ταῖσιν ἀηδονίσιν,
τοῦτο τὸ βωκόλιον πιαίνετε· κὴν τι Μενάλκας
τεῖδ' ἀγάγῃ, χαίρων ἄφθονα πάντα νέμοι.

ΜΕΝΑΛΚΑΣ.

Παντᾶ ἔαρ, παντᾶ δὲ νομοί, παντᾶ δὲ γάλακτος
οὔθατα πλήθουσιν καὶ τὰ νέα τρέφεται,
ἔνθ' ἁ καλὰ παῖς ἐπινίσσεται· αἰ δ' ἂν ἀφέρπῃ,
χὠ ποιμὰν ξηρὸς τηνόθι χαἰ βοτάναι.

ΔΑΦΝΙΣ.

Ἔνθ' ὄϊς, ἔνθ' αἶγες διδυματόκοι, ἔνθα μέλισσαι
σμάνεα πληροῦσιν χαἰ δρύες ὑψίτεραι,
ἔνθ' ὁ καλὸς Μίλων βαίνει ποσίν· αἰ δ' ἂν ἀφέρπῃ,
χὠ τὰς βῶς βόσκων χαἰ βόες αὐότεραι.

ΜΕΝΑΛΚΑΣ.

Ὦ τράγε, τᾶν λευκᾶν αἰγᾶν ἄνερ, ὦ βάθος ὕλας
μύριον, ὦ σιμαὶ δεῦτ' ἐφ' ὕδωρ ἔριφοι·
ἐν τήνῳ γὰρ τῆνος· ἴθ', ὦ κόλε, καὶ λέγε Μίλων'
ὡς Πρωτεὺς φώκας καὶ θεὸς ὢν ἔνεμεν.

ΔΑΦΝΙΣ.

. . . .
. . . .
. . . .
. . . .

ΜΕΝΑΛΚΑΣ.

Μή μοι γᾶν Πέλοπος, μή μοι χρύσεια τάλαντα
εἴη ἔχειν μηδὲ πρόσθε θέειν ἀνέμων,
ἀλλ᾽ ὑπὸ τᾷ πέτρᾳ τᾷδ᾽ ᾄσομαι ἀγκὰς ἔχων τυ,
σύννομα μᾶλ᾽ ἐσορῶν τὰν Σικελὰν ἐς ἅλα.

ΔΑΦΝΙΣ.

Δένδρεσι μὲν χειμὼν φοβερὸν κακόν, ὕδασι δ᾽ αὐχμός,
ὄρνισιν δ᾽ ὕσπλαγξ, ἀγροτέροις δὲ λίνα,
ἀνδρὶ δὲ παρθενικᾶς ἁπαλᾶς πόθος· ὦ πάτερ, ὦ Ζεῦ,
οὐ μόνος ἠράσθην, καὶ τὺ γυναικοφίλας.

2.

Λῇς ποτὶ τᾶν Μοισᾶν διδύμοις αὐλοῖσιν ἀεῖσαι
ἁδύ τι μοι; κἠγὼν πακτίδ᾽ ἀειράμενος
ἄρξεῦμαί τι κρέκειν, ὁ δὲ βωκόλος ἄμμιγα θελξεῖ
Δάφνις, κηροδέτῳ πνεύματι μελπόμενος.
ἐγγὺς δὲ στάντες λασιαύχενος ἄντρου ὄπισθεν
Πᾶνα τὸν αἰγιβάταν ὀρφανίσωμες ὕπνου.

3.

Ἆ δείλαιε τὺ Θύρσι, τί τοι πλέον εἰ κατατάξεῖς
δάκρυσι διγλήνους ὦπας ὀδυρόμενος;
οἴχεται ἁ χίμαρος, τὸ καλὸν τέκος, οἴχετ᾽ ἐς Ἅιδαν·
τραχὺς γὰρ χαλαῖς ἀμφεπίαξε λύκους,
αἱ δὲ κύνες κλαγγεῦντι· τί τοι πλέον, ἁνίκα τήνας
ὀστέον οὐδὲ τέφρα λείπεται οἰχομένας;

4.

Τὰ ῥόδα τὰ δροσόεντα καὶ ἁ κατάπυκνος ἐκείνα
ἕρπυλλος κεῖται ταῖς Ἑλικωνιάσιν.
ταὶ δὲ μελάμφυλλοι δάφναι τίν, Πύθιε Παιάν,
Δελφὶς ἐπεὶ πέτρα τοῦτό τοι ἀγλάϊσεν.
βωμὸν δ᾽ αἱμάξει κεραὸς τράγος οὗτος ὁ μᾶλος,
τερμίνθου τρώγων ἔσχατον ἀκρέμονα.

ΑΛΕΞΑΝΔΡΟΥ ΑΙΤΩΛΟΥ.

1.

Παῖς Ἱπποκλῆος Φόβιος Νηλῃιάδαο
ἔσται ἰθαιγενέων γνήσιος ἐκ πατέρων·
τῷ δ' ἄλοχος μνηστὴ δόμον ἵξεται, ἧς ἔτι νύμφης
ἠλάκατ' ἐν θαλάμοις καλὸν ἑλισσομένης
Ἀσσησοῦ βασιλῆος ἐλεύσεται ἔκγονος Ἀνθεὺς
ὅρκι' ὁμηρείης πίστ' ἀποδωσόμενος,
πρωθήβης, ἔαρος θαλερώτερος· οὐδὲ Μελίσσῳ
Πειρήνης τοιόνδ' ἀλφεσίβοιον ὕδωρ
θηλήσει μέγαν υἱόν, ἀφ' οὗ μέγα χάρμα Κορίνθῳ
ἔσται καὶ βριαροῖς ἄλγεα Βακχιάδαις·
Ἀνθεὺς Ἑρμείῃ ταχινῷ φίλος, ᾧ ἔπι νύμφη
μαινὰς ἄφαρ σχήσει τὸν λιθόλευστον ἔρων,
καί ἑ καθαψαμένη γούνων ἀτέλεστα κομίσσαι
πείσει· ὁ δὲ Ζῆνα ξείνιον αἰδόμενος
σπονδάς τ' ἐν Φοβίου καὶ ἅλα ξυνεῶνα θαλάσσῃ,
κρήναις καὶ ποταμοῖς νίψετ' ἀεικὲς ἔπος.
ἡ δ', ὅταν ἀρνῆται μελεὸν γάμον ἀγλαὸς Ἀνθεύς,
δὴ τότε οἱ τεύξει μητιόεντα δόλον
μύθοις ἐξαπαφοῦσα. λόγος δέ οἱ ἔσσεται οὗτος·
γαυλός μοι χρύσεος· φρείατος ἐκ μυχάτου
νῦν ὅ γ' ἀνελκόμενος διὰ μὲν καλὸν ἤρικεν οὖσον,
αὐτὸς δ' ἐς Νύμφας ᾤχετ' ἐφυδριάδας·
πρός σε θεῶν, ἀλλ' εἴ μοι, ἐπεὶ καὶ πᾶσιν ἀκούω
ῥηιδίην οἶμον τοῦδ' ἔμεναι στομίου,
ἰθύσας ἀνέλοιο, τότ' ἂν μέγα φίλτατος εἴης.
ὧδε μὲν ἡ Φοβίου Νηλεϊάδαο δάμαρ
φθέγξεθ'· ὁ δ' οὐ φρασθεὶς ἀπὸ μὲν Λελεγήιον εἷμα
μητρὸς ἑῆς ἔργον θήσεται Ἑλλαμενῆς,
αὐτὸς δὲ σπεύδων κοῖλον καταβήσεται ἄγκος
φρείατος· ἡ δ' ἐπί οἱ λιρὰ νοεῦσα γυνὴ
ἀμφοτέραις χείρεσσι μυλακρίδα λᾶαν ἐνήσει·

καὶ τόδ᾽ ὁ μὲν ξείνων πολλὸν ἀποτμότατος
ἠρίον ὀγκώσει τὸ μεμορμένον· ἡ δ᾽ ὑπὸ δειρὴν
ἁψαμένη σὺν τῷ βήσεται εἰς Ἀΐδην.

2.

Ἀλλ᾽ ὅγε πευθόμενος πάγχυ Γραικοῖσι μέλεσθαι
Τιμόθεον κιθάρης ἴδμονα καὶ μελέων,
υἱὸν Θερσάνδροιο κατήνεσαν ἀνέρι σίγλων
χρυσείων ἱερὴν δὴ τότε χιλιάδα
ὑμνῆσαι ταχέων Ὦπιν βλήτειραν ὀϊστῶν,
ἥτ᾽ ἐπὶ Κεγχρειῷ τίμιον οἶκον ἔχει.

. . . .

μηδὲ θεῆς προλίπῃ Λητωΐδος ἀγλαὰ ἔργα.

3.

Ὃν δ᾽ Ἀγαθοκλῆος λάσιαι φρένες ἤλασαν ἔξω
πατρίδος, ἀρχαίων ἦν ὅδ᾽ ἀνὴρ προγόνων,
εἰδὼς ἐκ νεότητος ἀεὶ ξείνοισιν ὁμιλεῖν
ξεῖνος, Μιμνέρμου δ᾽ εἰς ἔπος ἄκρον ἰὼν
παιδομανεῖ σὺν ἔρωτί ποτ᾽ ἦν ἴσον. ἔγραφε δ᾽ ὡνὴρ
εὖ παρ᾽ Ὁμηρείην ἀγλαΐην ἐπέων
πισσύγους ἢ φῶρας ἀναιδέας ἤ τινα χλούνην
φλοίοντ᾽ ἀνθηρῇ σὺν κακοδαιμονίῃ,
τοῖα Συρηκοσίοις καὶ ἔχων χάριν. ὃς δὲ Βοιωτοῦ
ἔκλυεν Εὐβοίῳ τέρψεται οὐδ᾽ ὀλίγον.

ΚΑΛΛΙΜΑΧΟΥ ΚΥΡΗΝΑΙΟΥ.

ΕΙΣ ΛΟΥΤΡΑ ΤΗΣ ΠΑΛΛΑΔΟΣ.

Ὅσσαι λωτροχόοι τᾶς Παλλάδος ἔξιτε πᾶσαι,
ἔξιτε. τᾶν ἵππων ἄρτι φρυασσομέναν
τᾶν ἱερᾶν ἐσάκουσα καὶ ἁ θεὸς εὔτυκος ἕρπει.
σοῦσθέ νυν, ὦ ξανθαί, σοῦσθε Πελασγιάδες.
οὔποκ᾽ Ἀθηναία μεγάλως ἀπενίψατο πάχεις,
πρὶν κόνιν ἱππείαν ἐξελάσαι λαγόνων,

οὐδ' ὅκα δὴ λύθρῳ πεπαλαγμένα πάντα φέροισα
τεύχεα τῶν ἀδίκων ἦνθ' ἀπὸ Γηγενέων·
ἀλλὰ πολὺ πράτιστον ὑφ' ἅρματος αὐχένας ἵππων
λυσαμένα παγαῖς ἔκλυσεν Ὠκεανῶ
ἱδρῶ καὶ ῥαθάμιγγας, ἐφοίβασεν δὲ παγέντα
πάντα χαλινοφάγων ἀφρὸν ἀπὸ στομάτων.
ὦ ἴτ', Ἀχαιϊάδες, καὶ μὴ μύρα μηδ' ἀλαβάστρως
(συρίγγων ἀΐω φθόγγον ὑπαξόνιον),
μὴ μύρα, λωτροχόοι, τᾷ Παλλάδι μηδ' ἀλαβάστρως
(οὐ γὰρ Ἀθηναία χρίματα μικτὰ φιλεῖ)
οἴσετε μηδὲ κάτοπτρον· ἀεὶ καλὸν ὄμμα τὸ τήνας.
οὐδ' ὅκα τὰν Ἴδᾳ Φρὺξ ἐδίκαξεν ἔριν
οὐδ' ἐς ὀρείχαλκον μεγάλα θεὸς οὐδὲ Σιμοῦντος
ἔβλεψεν δίναν ἐς διαφαινομέναν,
οὐδ' Ἥρα, Κύπρις δὲ διαυγέα χαλκὸν ἑλοῖσα
πολλάκι τὰν αὐτὰν δὶς μετέθηκε κόμαν.
ἁ δὲ δὶς ἑξήκοντα διαθρέξασα διαύλως,
οἷα παρ' Εὐρώτᾳ τοὶ Λακεδαιμόνιοι
ἀστέρες, ἐμπεράμως ἐτρίψατο λειτὰ λαβοῖσα
χρίματα, τᾶς ἰδίας ἔκγονα φυταλιᾶς,
ὦ κῶραι, τὸ δ' ἔρευθος ἀνέδραμε πρώιον οἵαν
ἢ ῥόδον ἢ σίβδας κόκκος ἔχει χροΐαν.
τῷ καὶ νῦν ἄρσεν τε κομίσσατε μῶνον ἔλαιον,
ᾧ Κάστωρ, ᾧ καὶ χρίεται Ἡρακλέης.
οἴσετε καὶ κτένεα οἱ παγχρύσεον, ὡς ἀπὸ χαίταν
πέξηται λιπαρὸν σμασαμένα πλόκαμον.
ἔξιθ', Ἀθηναία, πάρα τοι καταθύμιος ἴλα,
παρθενικαὶ μεγάλων παῖδες Ἀκεστοριδᾶν.
ὦ 'θάνα, φέρεται δὲ καὶ ἁ Διομήδεος ἀσπίς,
ὡς ἔθος Ἀργείων τοῦτο παλαιότερον
Εὐμήδης ἐδίδαξε τεῒν κεχαρισμένος ἱρεύς,
ὅς ποτε βουλευτὸν γνοὺς ἐπί οἱ θάνατον
δᾶμον ἑτοιμάζοντα φυγᾷ τεὸν ἱρὸν ἄγαλμα
ᾤχετ' ἔχων, Κρεῖον δ' εἰς ὄρος ᾠκίσατο,

Κρεῖον ὄρος, σὲ δὲ, δαῖμον, ἀποῤῥώγεσσιν ἔθηκεν
ἐν πέτραις αἷς νῦν οὔνομα Παλλατίδες.
ἔξιθ', Ἀθηναία περσέπτολι, χρυσεοπήληξ,
ἵππων καὶ σακέων ἁδομένα πατάγῳ.
σάμερον, ὑδροφόροι, μὴ βάπτετε, σάμερον, Ἄργος,
πίνετ' ἀπὸ κρανᾶν μηδ' ἀπὸ τῶν ποταμῶν.
σάμερον, ὦ δῶλαι, τὰς κάλπιδας ἢ ἐς Φυσάδειαν
ἢ ἐς Ἀμυμώνην οἴσετε τᾶν Δαναῶ.
καὶ γὰρ δὴ χρυσῷ τε καὶ ἄνθεσιν ὕδατα μίξας
ἥξει φορβαίων Ἴναχος ἐξ ὀρέων,
τἀθάνᾳ τὸ λοετρὸν ἄγων καλόν. ἀλλὰ, Πελασγέ,
φράζεο μὴ οὐκ ἐθέλων τὰν βασίλειαν ἴδῃς.
ὅς κεν ἴδῃ γυμνὰν τὰν Παλλάδα τὰν πολιοῦχον,
τὦργος ἐσοψεῖται τοῦτο πανυστάτιον.
πότνι' Ἀθαναία σὺ μὲν ἔξιθι· μέσφα δ' ἐγώ τι
ταῖσδ' ἐρέω· μῦθος δ' οὐκ ἐμός, ἀλλ' ἑτέρων.
παῖδες, Ἀθαναία νύμφαν μίαν ἔν ποκα Θήβαις
πουλύ τι καὶ περὶ δὴ φίλατο τᾶν ἑταρᾶν,
ματέρα Τειρεσίαο, καὶ οὔποκα χωρὶς ἔγεντο·
ἀλλὰ καὶ ἀρχαίων εὖτ' ἐπὶ Θεσπιέων
ἢ 'πὶ Κορωνείας, ἵνα οἱ τεθυωμένον ἄλσος
καὶ βωμοὶ ποταμῷ κεῖντ' ἐπὶ Κουραλίῳ,
ἢ 'πὶ Κορωνείας ἢ εἰς Ἁλίαρτον ἐλαύνοι
ἵππως, Βοιωτῶν ἔργα διερχομένα,
πολλάκις ἁ δαίμων μιν ἑῷ ἐπεβήσατο δίφρῳ,
οὐδ' ὄαροι Νυμφᾶν οὐδὲ χοροστασίαι
ἁδεῖαι τελέθεσκον, ὅτ' οὐχ ἁγεῖτο Χαρικλώ·
ἀλλ' ἔτι καὶ τήναν δάκρυα πόλλ' ἔμενεν
καίπερ Ἀθαναίᾳ καταθύμιον εὖσαν ἑταίραν·
δή ποτε γὰρ πέπλων λυσαμένα περόνας
ἵππω ἐπὶ κράνᾳ Ἑλικωνίδι καλὰ ῥεοίσᾳ
λῶντο, μεσαμερινὰ δ' εἶχ' ὄρος ἁσυχία,
ἀμφότεραι λῶντο, μεσαμεριναὶ δ' ἔσαν ὧραι,
πολλὰ δ' ἁσυχία τῆνο κατεῖχεν ὄρος·

Τειρεσίας δ' ἔτι μοῦνος ἅμαι κυσὶν ἄρτι γένεια
περκάσδων ἱερὸν χῶρον ἀνεστρέφετο,
διψάσας δ' ἄφατόν τι ποτὶ ῥόον ἤλυθε κράνας,
σχέτλιος, οὐκ ἐθέλων δ' εἶδε τὰ μὴ θέμις ἧς.
τὸν δὲ χολωσαμένα περ ὅμως προςέφασεν Ἀθάνα·
τίς σε τὰν ὀφθαλμὼς οὐκ ἔτ' ἀποισόμενον,
ὦ Εὐηρείδα, χαλεπὰν ὁδὸν ἄγαγε δαίμων;
ἁ μὲν ἔφα, παιδὸς δ' ὄμματα νὺξ ἔβαλεν.
ἑστάθη δ' ἄφθογγος· ἐκόλλασαν γὰρ ἀνίαι
γώνατα καὶ φωνὰν ἔσχεν ἀμαχανία.
ἁ Νύμφα δ' ἐβόασε· τί μοι τὸν κῶρον ἔρεξας,
πότνια; τοιαῦται δαίμονες ἐστὲ φίλαι;
ὄμματά μοι τῶ παιδὸς ἀφείλεο. τέκνον ἄλαστε,
εἶδες Ἀθαναίας στάθεα καὶ λαγόνας,
ἀλλ' οὐκ ἀέλιον πάλιν ὄψεαι. ὢ ἐμὲ δειλάν,
ὦ ὄρος, ὦ Ἑλικὼν οὐκ ἔτι μοι παριτέ.
ἦ μεγάλ' ἀντ' ὀλίγων ἐπράξαο· δόρκας ὀλέσσας
καὶ πρόκας οὐ πολλάς, φάεα παιδὸς ἔχεις.
εἶπε καὶ ἀμφοτέραισι φίλον περὶ παῖδα λαβοῖσα
μάτηρ μὲν γοερῶν οἶτον ἀηδονίδων
ἆγε βαρὺ κλαίοισα· θεὰ δ' ἐλέησεν ἑταίραν.
καί μιν Ἀθαναία πρὸς τόδ' ἔλεξεν ἔπος·
δῖα γύναι, μετὰ πάντα βαλεῦ πάλιν ὅσσα δι' ὀργὰν
εἶπας· ἐγὼ δ' οὔτοι τέκνον ἔθηκ' ἀλαόν.
οὐ γὰρ Ἀθαναίᾳ γλυκερὸν πέλει ὄμματα παίδων
ἁρπάζειν, Κρόνιοι δ' ὧδε λέγοντι νόμοι·
ὅς κέ τιν' ἀθανάτων, ὅκα μὴ θεὸς αὐτὸς ἕληται,
ἀθρήσῃ, μισθῷ τοῦτον ἰδεῖν μεγάλῳ.
δῖα γύναι, τὸ μὲν οὐ παλινάγρετον αὖθι γένοιτο
ἔργον, ἐπεὶ Μοιρᾶν ὧδ' ἐπένευσε λίνα,
ἀνίκα τὸ πρῶτόν νιν ἐγείναο· νῦν δὲ κομίζευ,
ὦ Εὐηρείδα, τέλθος ὀφειλόμενον.
πόσσα μὲν ἁ Καδμηὶς ἐς ὕστερον ἔμπυρα καυσεῖ,
πόσσα δ' Ἀρισταῖος, τὸν μόνον εὐχόμενοι

παῖδα τὸν ἀβατὰν Ἀκταίονα τυφλὸν ἰδέσθαι.
καὶ τῆνος μεγάλας σύνδρομος Ἀρτέμιδος
ἔσσεται· ἀλλ' οὐκ αὐτὸν ὅ τε δρόμος αἵ τ' ἐν ὄρεσσιν
ῥυσεῦνται ξυναὶ τᾶμος ἑκαβολίαι,
ὁππόταν οὐκ ἐθέλων περ ἴδῃ χαρίεντα λόετρα
δαίμονος, ἀλλ' αὐταὶ τὸν πρὶν ἄνακτα κύνες
τουτάκι δειπνασεῦντι· τὰ δ' υἱέος ὀστέα μάτηρ
λεξεῖται δρυμὼς πάντας ἐπερχομένα·
ὀλβίσταν ἐρέει σὲ καὶ εὐαίωνα γενέσθαι
ἐξ ὀρέων ἀλαὸν παιδ' ὑποδεξαμέναν,
ὦ ἑτάρα. τῷ μή τι μινύρεο· τῷδε γὰρ ἄλλα
τεῦ χάριν ἐξ ἐμέθεν πολλὰ μενεῦντι γέρα.
μάντιν ἐπεὶ θησῶ νιν ἀοίδιμον ἐσσομένοισιν,
ἦ μέγα τῶν ἄλλων δή τι περισσότερον,
γνωσεῖται δ' ὄρνιθας ὃς αἴσιος οἵ τε πέτονται
ἤλιθα καὶ ποίων οὐκ ἀγαθαὶ πτέρυγες.
πολλὰ δὲ Βοιωτοῖσι θεοπρόπα, πολλὰ δὲ Κάδμῳ
χρησεῖ καὶ μεγάλοις ὕστερα Λαβδακίδαις.
δωσῶ καὶ μέγα βάκτρον ὅ οἱ πόδας ἐς δέον ἀξεῖ,
δωσῶ καὶ βιότω τέρμα πολυχρόνιον.
καὶ μόνος εὖτε θάνῃ πεπνυμένος ἐν νεκύεσσιν
φοιτασεῖ μεγάλῳ τίμιος Ἀγεσίλᾳ.
ὣς φαμένα κατένευσε· τὸ δ' ἐντελὲς ᾧ κ' ἐπινεύσῃ
Παλλάς, ἐπεὶ μούνᾳ Ζεὺς τόδε θυγατέρων
δῶκεν Ἀθηναίᾳ, πατρώια πάντα φέρεσθαι.
λωτροχόοι, μάτηρ δ' οὔ τις ἔτικτε θεάν,
ἀλλὰ Διὸς κορυφά· κορυφὰ Διὸς οὐκ ἐπινεύει
ψεύδεα, ψεύδεα μὰν οὐδὲ Διὸς θυγάτηρ.
ἔρχετ' Ἀθαναία νῦν ἀτρεκές· ἀλλὰ δέχεσθε
τὰν θεόν, ὦ κῶραι, τὦργος ὅσαις μέλεται,
σύν τ' εὐαγορίᾳ σύν τ' εὔγμασι σύν τ' ὀλολυγαῖς.
χαῖρε, θεά, κάδευ δ' Ἄργεος Ἰναχίω,
χαῖρε καὶ ἐξελάοισα καὶ ἐς πόλιν αὖτις ἐλάσσαις
ἵππως, καὶ Δαναῶν κλᾶρον ἅπαντα σάω.

ΕΡΑΤΟΣΘΕΝΟΥΣ ΚΥΡΗΝΑΙΟΥ.

Οἶνός τοι πυρὶ ἶσον ἔχει μένος, εὖτ' ἂν ἐς ἄνδρα
ἔλθῃ, κυμαίνει δ' οἷα Λίβυσσαν ἅλα
Βορρῆς ἠὲ Νότος, τὰ δὲ καὶ κεκρυμμένα φαίνει
βυσσόθεν, ἐκ δ' ἀνδρῶν πάντ' ἐτίναξε νόον.

ΗΔΥΛΗΣ.

Ἡδύλη — ἐν τῇ ἐπιγραφομένῃ Σκύλλῃ ἱστορεῖ τὸν Γλαῦκον ἐρασθέντα Σκύλλης ἐλθεῖν αὐτῆς εἰς τὸ ἄντρον

ἢ κόγχου δώρημα [φέροντ'] Ἐρυθραίης ἀπὸ πέτρης
ἢ τοὺς ἀλκυόνων παῖδας ἔτ' ἀπτερύγους
τῇ Νύμφῃ δυςπείστῳ ἀθύρματα· δάκρυ δ' ἐκείνου
καὶ Σειρὴν γείτων πάρθενος ᾠκτίσατο·
ἀκτὴν γὰρ κείνην ἀπενήχετο καὶ τὰ σύνεγγυς
Αἴτνης . . . .

ΝΙΚΑΝΔΡΟΥ ΚΟΛΟΦΩΝΙΟΥ.

1.

Οὐκ ἔχις οὐδὲ φάλαγγες ἀπεχθέες οὐδὲ βαθυπλὴξ
ἄλσεσιν εὐζώοις σκορπίοις ἐν Κλαρίοις,
Φοῖβος ἐπεὶ ῥ' αὐλῶνα βαθὺν μελίαισι καλύψας
ποιηρὸν δάπεδον θῆκεν ἑκὰς δακέτων.

2.

Ἔκλυον ὡς Λίβυες, Ψύλλων γένος, οὔτε τι θηρῶν
αὐτοὶ κάμνουσιν μυδαλέαισι τυπαῖς,
οὓς Σύρτις βόσκει θινοτρόφος, εὖ δὲ καὶ ἄλλοις
ἀνδράσιν ἤμυναν τύμμασιν ἀχθομένοις,
οὐ ῥίζαις ἔρδοντες, ἑῶν δ' ἀπὸ σύγχροα γυίων
. . . .

ΠΑΡΘΕΝΙΟΥ ΝΙΚΑΙΕΩΣ.

πάρθενος ἡ Κιλίκων εἶχεν ἀνακτορίην,
ἀγχίγαμος δ᾽ ἔπελεν, καθαρῷ δ᾽ ἐπεμαίνετο Κύδνῳ,
Κύπριδος ἐξ ἀδύτων πυρσὸν ἀναψαμένη,
εἰςόκε μιν Κύπρις πηγὴν θέτο, μῖξε δ᾽ ἔρωτι
Κύδνου καὶ Νύμφης ὑδατόεντα γάμον.

ΕΠΙΓΡΑΜΜΑΤΑ.

ΑΡΧΙΛΟΧΟΥ.

1.

Ὑψηλοὺς Μεγάτιμον Ἀριστοφόωντά τε Νάξου
κίονας, ὦ μεγάλη γαῖ', ὑπένερθεν ἔχεις.

2.

Ἀλκιβίη πλοκάμων ἱερὴν ἀνέθηκε καλύπτρην
Ἥρῃ, κουριδίων εὖτ' ἐκύρησε γάμων.

ΣΑΠΦΟΥΣ.

1.

Τιμάδος ἅδε κόνις, τὰν δὴ πρὸ γάμοιο θανοῖσαν
δέξατο Φερσεφόνας κυάνεος θάλαμος,
ἇς καὶ ἀποφθιμένας πᾶσαι νεοθᾶγι σιδάρῳ
ἅλικες ἱμερτὰν κρατὸς ἔθεντο κόμαν.

2.

Τῷ γριπεῖ Πελάγωνι πατὴρ ἐπέθηκε Μενίσκος
κύρτον καὶ κώπαν, μνᾶμα κακοζοΐας.

ΗΡΙΝΝΗΣ.

1.

Δέξ' ἀταλᾶν χειρῶν τάδε γράμματα, λῷστε Προμαθεῦ,
ἔντι καὶ ἄνθρωποι τὶν ὁμαλοὶ σοφίαν.

ταύταν γοῦν ἐτύμως τὰν πάρθενον ὅστις ἔγραψεν,
αἴκ᾽ αὐδὰν ποτέθηκ᾽, ἧς κ᾽ Ἀγαθαρχὶς ὅλα.

2.

Στᾶλαι καὶ Σειρῆνες ἐμαὶ καὶ πένθιμε κρωσσέ,
ὅστις ἔχεις Ἀΐδα τὰν ὀλίγαν σποδιάν,
τοῖς ἐμὸν ἐρχομένοισι παρ᾽ ἠρίον εἴπατε χαίρειν,
αἴτ᾽ ἀστοὶ τελέθωντ᾽ αἴθ᾽ ἑτέρας πόλιος,
χὤτι με νύμφαν εὖσαν ἔχει τάφος, εἴπατε καὶ τό,
χὤτι πατήρ μ᾽ ἐκάλει Βαυκίδα, χὤτι γένος
Τηνία, ὡς εἰδῶντι, καὶ ὅττι μοι ἁ συνεταιρὶς
Ἤρινν᾽ ἐν τύμβῳ γράμμ᾽ ἐχάραξε τόδε.

ΑΝΑΚΡΕΟΝΤΟΣ.

1.

Εὔχεο Τιμώνακτι θεῶν κήρυκα γενέσθαι
ἤπιον, ὅς μ᾽ ἐρατοῖς ἀγλαΐην προθύροις
Ἑρμῇ τε κρείοντι καθέσσατο· τὸν δ᾽ ἐθέλοντα
ἀστῶν καὶ ξείνων γυμνασίῳ δέχομαι.

2.

Τελλίᾳ ἱμερόεντα βίον πόρε, Μαιάδος υἱέ,
ἀντ᾽ ἐρατῶν δώρων τῶνδε χάριν θέμενος.
δὸς δέ μιν εὐθυδίκων Εὐωνυμέων ἐνὶ δήμῳ
ναίειν αἰῶνος μοῖραν ἔχοντ᾽ ἀγαθήν.

3.

Ἀβδήρων προθανόντα τὸν αἰνοβίην Ἀγάθωνα
πᾶσ᾽ ἐπὶ πυρκαϊῆς ἥδ᾽ ἐβόησε πόλις·
οὔτινα γὰρ τοιόνδε νέων ὁ φιλαίματος Ἄρης
ἠνάρισεν στυγερῆς ἐν στροφάλιγγι μάχης.

4.

Καὶ σέ, Κλεηνορίδη, πόθος ὤλεσε πατρίδος αἴης
θαρσήσαντα Νότου λαίλαπι χειμερίῃ·

ὤρη γάρ σε πέδησεν ἀνέγγυος, ὑγρὰ δὲ τὴν σὴν
κύματ' ἀφ' ἱμερτὴν ἔκλυσεν ἡλικίην.

ΣΙΜΩΝΙΔΟΥ.

1.

Ἑλλήνων προμαχοῦντες Ἀθηναῖοι Μαραθῶνι
χρυσοφόρων Μήδων ἐστόρεσαν δύναμιν.

2.

Μυριάσιν ποτὲ τᾷδε τριακοσίαις ἐμάχοντο
ἐκ Πελοποννάσου χιλιάδες τέτορες.

3.

Ὦ ξεῖν', ἀγγέλλειν Λακεδαιμονίοις ὅτι τᾷδε
κείμεθα τοῖς κείνων ῥήμασι πειθόμενοι.

4.

Εἰ τὸ καλῶς θνήσκειν ἀρετῆς μέρος ἐστὶ μέγιστον,
ἡμῖν ἐκ πάντων τοῦτ' ἐπένειμε τύχη·
Ελλάδι γὰρ σπεύδοντες ἐλευθερίην περιθεῖναι
κείμεθ' ἀγηράντῳ χρώμενοι εὐλογίῃ.

5.

Ἄσβεστον κλέος οἵδε φίλῃ περὶ πατρίδι θέντες
κυάνεον θανάτου ἀμφεβάλοντο νέφος,
οὐδὲ τεθνᾶσι θανόντες, ἐπεί σφ' ἀρετὴ καθύπερθε
κυδαίνουσ' ἀνάγει δώματος ἐξ Ἀΐδεω.

6.

Εὐκλέας αἶα κέκευθε, Λεωνίδα, οἳ μετὰ σεῖο
τῇδ' ἔθανον, Σπάρτης εὐρυχόρου βασιλεῦ,
πλείστων δὴ τόξων τε καὶ ὠκυπόδων σθένος ἵππων
Μηδείων ἀνδρῶν δεξάμενοι πολέμῳ.

7.

Ὦ ξένε, εὔϋδρόν ποτ' ἐναίομεν ἄστυ Κορίνθου,
νῦν δ' ἄμμ' Αἴαντος νᾶσος ἔχει Σαλαμίς.

ῥεῖα δὲ Φοινίσσας νῆας καὶ Πέρσας ἑλόντες
καὶ Μήδους ἱερὰν Ἑλλάδα ῥυόμεθα.

8.

Ἀκμᾶς ἑστακυῖαν ἐπὶ ξυροῦ Ἑλλάδα πᾶσαν
ταῖς αὑτῶν ψυχαῖς κείμεθα ῥυσάμενοι.

9.

Παῖδες Ἀθηναίων Περσῶν στρατὸν ἐξολέσαντες
ἤρκεσαν ἀργαλέαν πατρίδι δουλοσύνην.

10.

Ἑλλάδι καὶ Μεγαρεῦσιν ἐλεύθερον ἆμαρ ἀέξειν
ἱέμενοι θανάτου μοῖραν ἐδεξάμεθα,
τοὶ μὲν ὑπ' Εὐβοίας ἁλίῳ πάγῳ, ἔνθα καλεῖται
ἁγνᾶς Ἀρτέμιδος τοξοφόρου τέμενος,
τοὶ δ' ἐν ὄρει Μυκάλας, τοὶ δ' ἔμπροσθεν Σαλαμῖνος,
[νηῶν Φοινισσᾶν ἐξολέσαντες Ἄρην,]
τοὶ δὲ καὶ ἐν πεδίῳ Βοιωτίῳ, οἵτινες ἔτλαν
χεῖρας ἐπ' ἀνθρώπους ἱππομάχους ἱέναι.
ἀστοὶ δ' ἄμμι τόδε γέρας ὀμφαλῷ ἀμφὶ πόληος
Νισαίων ἔπορον λαοδόκῳ ἀγορᾷ.

11.

Οὗτος Ἀνακρείοντα τὸν ἄφθιτον εἵνεκα Μουσέων
ὑμνοπόλον πάτρης τύμβος ἔδεκτο Τέω,
ὃς Χαρίτων πνείοντα μέλη πνείοντα δ' Ἐρώτων
τὸν γλυκὺν ἐς παίδων ἵμερον ἡρμόσατο.
μοῦνος δ' εἰν Ἀχέροντι βαρύνεται, οὐχ ὅτι λείπων
ἠέλιον Λήθης ἐνθάδ' ἔκυρσε δόμων,
ἀλλ' ὅτι τὸν χαρίεντα μετ' ἠιθέοισι Μεγιστέα
καὶ τὸν Σμερδίεω Θρῆκα λέλοιπε πόθον·
μολπῆς δ' οὐ λήγει μελιτερπέος, ἀλλ' ἔτ' ἐκεῖνον
βάρβιτον οὐδὲ θανὼν εὔνασεν εἰν Ἀΐδῃ.

12.

Πολλὰ πιὼν καὶ πολλὰ φαγὼν καὶ πολλὰ κάκ' εἰπὼν
ἀνθρώπους κεῖμαι Τιμοκρέων Ῥόδιος.

13.

Ἦ μέγ' Ἀθηναίοισι φόως γένεθ', ἡνίκ' Ἀριστο —
γείτων Ἵππαρχον κτεῖνε καὶ Ἁρμόδιος.

14.

Ἑλλάνων ἀρχαγὸς ἐπεὶ στρατὸν ὤλεσε Μήδων
Παυσανίας Φοίβῳ μνᾶμ' ἀνέθηκε τόδε.

15.

Τόξα τάδε πτολέμοιο πεπαυμένα δακρυόεντος
νηῷ Ἀθηναίης κεῖται ὑποῤῥόφια,
πολλάκι δὴ στονόεντα κατὰ κλόνον ἐν δαῒ φωτῶν
Περσῶν ἱππομάχων αἵματι λουσάμενα.

16.

Ἓξ ἐπὶ πεντήκοντα, Σιμωνίδη, ἤραο ταύρους
καὶ τρίποδας, πρὶν τόνδ' ἀνθέμεναι πίνακα,
τοσσάκι δ' ἱμερόεντα διδαξάμενος χορὸν ἀνδρῶν
εὐδόξου Νίκας ἀγλαὸν ἅρμ' ἐπέβης.

17.

Ἦρχεν Ἀδείμαντος μὲν Ἀθηναίοις, ὅτ' ἐνίκα
Ἀντιοχὶς φυλὴ δαιδάλεον τρίποδα,
Ξεινοφίλου δ' ἐΰς υἱὸς Ἀριστείδης ἐχορήγει
πεντήκοντ' ἀνδρῶν καλὰ μαθόντι χορῷ·
ἀμφὶ διδασκαλίᾳ δὲ Σιμωνίδῃ ἕσπετο κῦδος
ὀγδωκονταέτει παιδὶ Λεωπρεπέος.

ΑΙΣΧΥΛΟΥ.

1.

Κυανέη καὶ τούςδε μενέγχεας ὤλεσεν ἄνδρας
Μοῖρα πολύῤῥηνον πατρίδα ῥυομένους,
ζωὸν δὲ φθιμένων πέλεται κλέος, οἵ ποτε γυίοις
τλήμονες Ὀσσαίαν ἀμφιέσαντο κόνιν.

3.

Χρυσὸν ἀνὴρ εὑρὼν ἔλιπεν βρόχον, αὐτὰρ ὁ χρυσὸν
ὃν λίπεν οὐχ εὑρὼν ἧψεν ὃν εὗρε βρόχον.

ΣΠΕΥΣΙΠΠΟΥ.

Σῶμα μὲν ἐν κόλποις κατέχει τόδε γαῖα Πλάτωνος,
ψυχὴ δ' ἰσοθέων τάξιν ἔχει μακάρων.

ΘΕΟΚΡΙΤΟΥ.

Ἡ Κύπρις οὐ πάνδημος· ἱλάσκεο τὴν θεὸν εἰπὼν
οὐρανίαν, ἁγνᾶς ἄνθεμα Χρυσογόνας
οἴκῳ ἐν Ἀμφικλέους, ᾧ καὶ τέκνα καὶ βίον εἶχεν
ξυνόν· ἀεὶ δέ σφιν λώιον εἰς ἔτος ἦν
ἐκ σέθεν ἀρχόμενοις, ὦ πότνια· κηδόμενοι γὰρ
ἀθανάτων αὐτοὶ πλεῖον ἔχουσι βροτοί.

ΑΛΕΞΑΝΔΡΟΥ ΑΙΤΩΛΟΥ.

Σάρδιες, ἀρχαῖος πατέρων νομός, εἰ μὲν ἐν ὑμῖν
ἐτρέφομεν, κερνᾶς ἦν τις ἂν ἢ βακέλας
χρυσοφόρος ῥήσσων καλὰ τύμπανα· νῦν δέ μοι Ἀλκμὰν
οὔνομα καὶ Σπάρτας εἰμὶ πολυτρίποδος,
καὶ Μούσας ἐδάην Ἑλικωνίδας, αἵ με τυράννων
θῆκαν Δασκύλεω μείζονα καὶ Γύγεω.

ΚΑΛΛΙΜΑΧΟΥ.

1.

Ὠγρευτής, Ἐπίκυδες, ἐν οὔρεσι πάντα λαγωὸν
διφᾷ καὶ πάσης ἴχνια δορκαλίδος,
στίβῃ καὶ νιφετῷ κεχρημένος. ἢν δέ τις εἴπῃ,
τῆ, τόδε βέβληται θηρίον, οὐκ ἔλαβεν.
χοὐμὸς ἔρως τοιόσδε· τὰ μὲν φεύγοντα διώκειν
οἶδε, τὰ δ' ἐν μέσσῳ κείμενα παρπέταται.

2.

Νάξιος οὐκ ἐπὶ γῆς ἔθανεν Λύκος, ἀλλ᾽ ἐνὶ πόντῳ
ναῦν ἅμα καὶ ψυχὴν εἶδεν ἀπολλυμένην,
ἔμπορος Αἰγίνηθεν ὅτ᾽ ἔπλεε· χὠ μὲν ἐν ὑγρῇ
νεκρός, ἐγὼ δ᾽ ἄλλως οὔνομα τύμβος ἔχων
κηρύσσω πανάληθες ἔπος τόδε· φεῦγε θαλάσσῃ
συμμίσγειν ἐρίφων, ναυτίλε, δυομένων.

3.

Ἠῷοι Μελάνιππον ἐθάπτομεν, ἠελίου δὲ
δυομένου Βασιλὼ κάτθανε παρθενικὴ
αὐτοχερί· ζώειν γὰρ ἀδελφεὸν ἐν πυρὶ θεῖσα
οὐκ ἔτλη· δίδυμον δ᾽ οἶκος ἐσεῖδε κακὸν
πατρὸς Ἀριστίπποιο, κατήφησεν δὲ Κυρήνη
πᾶσα τὸν εὔτεκνον χῆρον ἰδοῦσα δόμον.

4.

Κόγχος ἐγώ, Ζεφυρῖτι, παλαίτερος· ἀλλὰ σὺ νῦν με,
Κύπρι, Σεληναίης ἄνθεμα πρῶτον ἔχεις,
ναυτίλον, ὃς πελάγεσσιν ἐπέπλεον, εἰ μὲν ἀῆται,
τείνας οἰκείων λαῖφος ἀπὸ προτόνων,
εἰ δὲ Γαληναίη, λιπαρὴ θεός, οὖλος ἐρέσσων
ποσσὶ νιν, ὥςτ᾽ ἔργῳ τοὔνομα συμφέρεται.
ἔκ τ᾽ ἔπεσον παρὰ θῖνας Ἰουλίδος, ὄφρα γένωμαι
σοί τε περίσκεπτον παίγνιον, Ἀρσινόη,
μηδέ μοι ἐν θαλάμῃσι ἔθ᾽ ὡς πάρος (εἰμὶ γὰρ ἄπνους)
τίκτηται νοτερῆς ὤεον Ἀλκυόνης.
Κλεινίου ἀλλὰ θυγατρὶ δίδου χάριν· οἶδε γὰρ ἐσθλὰ
ῥέζειν καὶ Σμύρνης ἐστὶν ἀπ᾽ Αἰολίδος.

ΑΣΚΛΗΠΙΑΔΟΥ.

1.

Αὗταὶ ποιμαίνοντα μεσαμβρινὰ μῆλά σε Μοῦσαι
ἔδρακον ἐν κραναοῖς οὔρεσιν, Ἡσίοδε,

καί σοι καλλιπέτηλον ἐρυσσάμενοι περὶ πᾶσαι
ὤρεξαν δάφνας ἱερὸν ἀκρέμονα,
δῶκαν δὲ κράνας Ἑλικωνίδος ἔνθεον ὕδωρ,
τὸ πτανοῦ πώλου πρόσθεν ἔκοψεν ὄνυξ,
οὗ σὺ κορεσσάμενος μακάρων γένος ἔργα τε μολπαῖς
καὶ γένος ἀρχαίων ἔγραφες ἡμιθέων.

2.

ΛΥΔΗ καὶ γένος εἰμὶ καὶ οὔνομα, τῶν δ' ἀπὸ Κόδρου
σεμνοτέρη πασῶν εἰμὶ δι' Ἀντίμαχον.
τίς γὰρ ἔμ' οὐκ ἤεισε; τίς οὐκ ἀνελέξατο Λύδην,
τὸ ξυνὸν Μουσῶν γράμμα καὶ Ἀντιμάχου;

3.

Πῖν', Ἀσκληπιάδη, τί τὰ δάκρυα ταῦτα; τί πάσχεις;
οὐ σὲ μόνον χαλεπὴ Κύπρις ἐληίσατο,
οὐδ' ἐπὶ σοὶ μούνῳ κατεθήκατο τόξα καὶ ἰοὺς
πικρὸς Ἔρως. τί ζῶν ἐν σποδιῇ τίθεσαι;
πίνωμεν Βάκχου ζωρὸν πόμα. δάκτυλος ἀώς·
ἢ πάλι κοιμιστὰν λύχνον ἰδεῖν μένομεν;
πίνομεν οὖν γάλερῶς· μετά τοι χρόνον οὐκέτι πουλύν,
σχέτλιε, τὴν μακρὰν νύκτ' ἀναπαυσόμεθα.

ΛΕΩΝΙΔΟΥ ΤΑΡΑΝΤΙΝΟΥ.

1.

Ἄστρα μὲν ἠμαύρωσε καὶ ἱερὰ κύκλα σελήνης
ἄξονα δινήσας ἔμπυρος ἠέλιος,
ὑμνοπόλους δ' ἀγεληδὸν ἀπημάλδυνεν Ὅμηρος
λαμπρότατον Μουσῶν φέγγος ἀνασχόμενος.

2.

Ἠρίον, οἷον νυκτὶ καταφθιμένοιο καλύπτεις
ὀστέον, οἵην, γαῖ', ἀμφέχανες κεφαλήν,

πολλὸν μὲν ξανθαῖσιν ἀρεσκομένου Χαρίτεσσιν,
πολλοῦ δ' ἐν μνήμῃ πᾶσιν Ἀριστοκράτευς.
ᾔδει Ἀριστοκράτης καὶ μείλιχα δημολογῆσαι
στρεβλὴν οὐκ ὀφρὺν ἐσθλὸς ἐφελκόμενος,
ᾔδει καὶ Βάκχοιο παρὰ κρητῆρος ἄδηριν
ἰθῦναι κείνην εὐκυλίκην λαλιήν,
ᾔδει κεὶν ξείνοισι καὶ ἐνδήμοισι προςηνέα,
ἔρδειν. γαῖ' ἐρατή, τοῖον ἔχεις φθίμενον.

ΑΔΗΛΟΝ.

Οὐχὶ πέδον Σμύρνης ἐλοχεύσατο θεῖον Ὅμηρον,
οὐ Κολοφὼν τρυφερῆς ἄστρον Ἰηονίης,
οὐ Χίος, οὐκ Αἴγυπτος ἐΰσπορος, οὐ Κύπρος ἁγνή,
οὐ νῆσος κραναὴ Λαρτιάδαο πάτρη,
οὐκ Ἄργος Δαναοῖο Κυκλωπείη τε Μυκήνη,
οὐδὲ τὸ Κεκροπίων ἄστυ παλαιογόνων.
οὐ γὰρ ἔφυ χθονὸς ἔργον, ἀπ' αἰθέρος ἀλλά ἑ Μοῦσαι
πέμψαν, ἵν' ἡμερίοις δῶρα ποθητὰ φέροι.

ΜΕΛΗ.

ΑΛΚΜΑΝΟΣ ΛΥΔΟΥ.

1.

Μῶσ᾽ ἄγε Καλλιόπα, θύγατερ Διός,
ἄρχ᾽ ἐρατῶν ἐπέων, ἐπὶ δ᾽ ἵμερον
ὕμνῳ καὶ χαρίεντα τίθει χορόν.

2.

Πολλάκι δ᾽ ἐν κορυφαῖς ὀρέων, ὅκα
θεοῖσιν ἅδῃ πολύφαμος ἑορτά,
χρύσεον ἄγγος ἔχοισα μέγαν σκύφον,
οἷά τε ποιμένες ἄνδρες ἔχουσιν,
χερσὶ λεόντεον ἐν γάλα θεῖσα
τυρὸν ἐτύρησας μέγαν ἄτρυφον
ἀργύφεόν τε . . . .

3.

Οὔ μ᾽ ἔτι παρθενικαὶ μελιγάρυες ἱερόφωνοι
γυῖα φέρειν δύναται. βάλε δή, βάλε, κηρύλος εἴην,
ὅς τ᾽ ἐπὶ κύματος ἄνθος ἅμ᾽ ἀλκυόνεσσι ποτᾶται
νηδεὲς ἦτορ ἔχων, ἁλιπόρφυρος εἴαρος ὄρνις.

4.

Ὥρας δ᾽ ἔσηκε τρεῖς, θέρος
καὶ χεῖμα κὠπώραν τρίταν
καὶ τέτρατον τὸ ἦρ, ὅκα
σάλλει μέν, ἐσθίεν δ᾽ ἅδαν
οὐκ ἔντι . . . .

5.

×
–– –́⏑⏑ –⏑⏑ –⏑ –⏑ –⏑
–́⏑ –⏑ –́⏑ –⏕
–́⏑⏑ –⏑⏑ –⏑⏑ –⏑ –⏑ –⏑
⏓–́ ⏑– ⏕–
–́⏑ –⏑ ––
––́⏑⏑– –́⏑⏑ – ⏑–⏑–
–́– –– –– –́⏑⏑ –⏑⏑ –

Εὕδουσιν δ' ὀρέων κορυφαί τε καὶ φάραγγες
πρώονές τε καὶ χαράδραι,
φῦλα τε ἑρπετά θ' ὅσσα τρέφει μέλαινα γαῖα,
θῆρές τ' ὀρεσκῷοι
καὶ γένος μελισσῶν
καὶ κνώδαλα ἐν βένθεσι πορφυρᾶς ἁλός.
εὕδουσιν δ' οἰωνῶν φῦλα τανυπτερύγων.

ΑΡΙΟΝΟΣ ΜΗΘΥΜΝΑΙΟΥ.

Ὕψιστε θεῶν πόντιε,
χρυσοτρίαινε Πόσειδον,
γαιήοχε, κυμογάρχα,
βράγχιοι περὶ δὲ σὲ πλωτοὶ θῆρες
χορεύουσιν ἐν κύκλῳ,
κούφοισι ποδῶν ῥίμμασιν
ἐλαφρὰ ἀναπαλλόμενοι·
σιμοί, φριξαυχένες,
ὠκυδρόμοι σκύλακες,
φιλόμουσοι δελφῖνες,
ἔναλα θρέμματα κουρᾶν
Νηρηίδων θεᾶν,
ἃς ἐγείνατο Ἀμφιτρίτα,
οἵ μ' εἰς Πέλοπος γᾶν ἐπὶ
Ταιναρίαν ἀκτὰν ἐπορεύσατε
πλαζόμενον Σικελῷ ἐνὶ πόντῳ,
κυρτοῖσι νώτοις χορεύοντες,
ἄλοκα Νηρείας πλακὸς
τέμνοντες, ἀστιβῆ πόρον·
φῶτες δόλιοι με ἀπὸ ἁλιπλόου
γλαφυρᾶς νεὼς εἰς οἶδμα
ἁλιπόρφυρον λίμνας ῥίψαν.

ΑΛΚΑΙΟΥ ΜΥΤΙΛΗΝΑΙΟΥ.

1.

τὸ μὲν γὰρ ἔνθεν κῦμα κυλίνδεται
τὸ δ' ἔνθεν· ἄμμες δ' ἂν τὸ μέσσον
ναΐ φορήμεθα σὺν μελαίνᾳ,
χειμῶνι μοχθεῦντες μεγάλῳ κάλων·
πὰρ μὲν γὰρ ἄντλος ἱστοπέδαν ἔχει,
λαῖφος δὲ πᾶν ζάδηλον ἤδη
καὶ λακίδες μεγάλαι κατ' αὐτό.
χαλᾶσι δ' ἄγκυραι . . , ...

2.

Ὕει μὲν ὁ Ζεύς, ἐκ δ' ὀρανῶ μέγας
χειμών, πεπάγασιν δ' ὐδάτων ῥοαί.

κάββαλλε τὸν χειμῶν' ἐπὶ μὲν τιθεὶς
πῦρ, ἐν δὲ κίρναις οἶνον ἀφειδέως
μελιχρόν, αὐτὰρ ἀμφὶ κόρσᾳ
μαλθακὸν ἀμφιβαλὼν γνάφαλλον.

3.

Οὐ χρὴ κακοῖσι θυμὸν ἐπιτρέπειν·
προκόψομες γὰρ οὐδὲν ἀσάμενοι,
ὦ Βύκχι, φάρμακον δ' ἄριστον
οἶνον ἐνεικαμένοις μεθύσθην.

4.

Μαρμαίρει δὲ μέγας δόμος χαλκῷ, πᾶσα δ' Ἄρει
κεκόσμηται στέγη.

λαμπραῖσιν κυνέαισι, κἀττᾶν λευκοὶ καθύπερθεν ἵππιοι λόφοι
νεύουσιν, κεφαλαῖσιν ἀνδρῶν ἀγάλματα, χάλκεαι δὲ πασσάλοις
κρυπτοῖσιν περικείμεναι λαμπραὶ κναμῖδες, ἄρκος ἰσχυρῶ βέλευς,
θώρακές τε νέω λινείω κοῖλαί τε κατ' ἀσπίδες βεβλημέναι·
πὰρ δὲ Χαλκιδικαὶ σπάθαι, πὰρ δὲ ζώματα πολλὰ καὶ κυπαττίδες.
τῶν οὐκ ἔστι λαθέσθ', ἐπειδὴ πρώτισθ' ὑπὸ ἔργον ἔσταμεν τόδε.

5.

× –⏓ ´⏑⏑– ´⏑⏑– ´⏑⏑– ⏑–

Μηδὲν ἄλλο φυτεύσῃς πρότερον δένδρεον ἀμπέλω.

. . . .

πίνωμεν· τί τὰ λύχν' ἀμμένομεν; δάκτυλος ἁμέρα.
κάδδ' ἄειρε κυλίχναις μεγάλαις, αἶτα, ποικίλαις.
οἶνον γὰρ Σεμέλας καὶ Διὸς υἱὸς λαθικαδέα
ἀνθρώποισιν ἔδωκ'. ἔγχεε κίρναις ἕνα καὶ δύο
πλείαις κακκεφαλᾶς· ἁ δ' ἑτέρα τὰν ἑτέραν κύλιξ
ὠθείτω. . . . .
τέγγε πνεύμονας οἴνῳ· τὸ γὰρ ἄστρον περιτέλλεται,
ἁ δ' ὥρα χαλεπά, πάντα δὲ δίψαις ὑπὸ καύματος.

ΣΑΠΦΟΥΣ ΜΥΤΙΛΗΝΑΙΑΣ.

1.

V. 1—3. ´⏑–⏓ ´⏑⏑ –⏑–⏓
V. 4. ´⏑⏑ –⏓

Ποικιλόθρον' ἀθάνατ' Ἀφροδίτα,
παῖ Διὸς δολόπλοκε, λίσσομαί σε,

μή μ' ἄσαισι μηδ' ἀνίαισι δάμνα,
πότνια, θυμόν.
ἀλλὰ τυίδ' ἔλθ', αἴ ποτα κἀτέρωτα,
τᾶς ἐμᾶς αὔδας ἀΐοισα· πολλὰ δ'
ἔκλυες, πατρὸς δὲ δόμον λιποῖσα
χρύσεον ἦλθες
ἄρμ' ὑποζεύξασα· καλοὶ δέ σ' ἆγον
ὠκέες στρουθοὶ πτέρυγας μελαίνας
πυκνὰ δινῆντες περάτων ἀπ' αἰθέ-
ρος διὰ μέσσω·
αἶψα δ' ἐξίκοντο· τὺ δ', ὦ μάκαιρα,
μειδιάσαισ' ἀθανάτῳ προσώπῳ,
ἦρε' ὄττι δηὖτε πέπονθα, κὤττι
δηὖτε κάλημι,
κὤττι ἐμῷ μάλιστα θέλω γενέσθαι
μαινόλα θυμῷ, τίνα δηὖτε πείθω
καὶ σαγηνάεσσαν φιλότατ'; ὄτις σ', ὦ
Ψάπφ', ἀδικήη.
καὶ γὰρ αἰ φεύγει, ταχέως διώξει,
αἰ δὲ δῶρα μὴ δέκετ', ἀλλὰ δώσει,
αἰ δὲ μὴ φιλεῖ, ταχέως φιλήσει
κοὐκ ἐθέλοισαν.
ἐλθέ μοι καὶ νῦν, χαλεπᾶν δὲ λῦσον
ἐκ μεριμνᾶν, ὄσσα δέ μοι τελέσσαι
θυμὸς ἰμέῤῥει τέλεσον, σὺ δ' αὔτα
σύμμαχος ἔσσο.

2.

Φαίνεταί μοι κῆνος ἴσος θεοῖσιν
ἔμμεν ὠνήρ, ὄςτις ἐναντίος τοι
ἰζάνει καὶ πλασίον ἀδὺ φωνεύ-
σας ὑπακούει
καὶ γελαίσας ἰμερόεν· τό μοι τὰν
καρδίαν ἐν στήθεσιν ἐπτόασεν·

ὡς ἴδω γάρ σε βροχέ᾽, ὥς με φωνᾶς
    οὐδὲν ἔτ᾽ ἴκει.
ἀλλὰ κὰμ μὲν γλῶσσα ἔαγε, λεπτὸν δ᾽
αὐτίκα χρῷ πῦρ ὑποδεδράμακεν,
ὀππάτεσσι δ᾽ οὐδὲν ὄρημ᾽, ἐπιρρόμ-
    βεῦσι δ᾽ ἄκουαί.
κὰδ δ᾽ ἴδρως ψυχρὰ ᾽κχέεται, τρόμος δὲ
πᾶσαν ἄγρει, χλωροτέρα δὲ ποίας
ἔμμι, τεθνάκην δ᾽ ὀλίγω ᾽πιδεύης
    φαίνομαι οὐδέν,
ἀλλὰ παντόλματον ἀπεῖπεν ἦτορ.
. . . .

CATULLI CARMEN LI.

Ille mî par esse deo videtur,
ille, si fas est, superare divos,
qui sedens adversus identidem te
    spectat et audit
Dulce videntem, misero quod omnis
eripit sensus mihi: nam simul te,
Lesbia, adspexi, nihil est super mi
    –⏑⏑ –⏓
Lingua sed torpet, tenuis sub artus
flamma demanat, sonitu suopte
tintinant auris, gemina teguntur
    lumina nocte.

3.

Πρὸς ἀπαίδευτον γυναῖκα.

–⏓ –⏑⏑– –⏑⏑– –⏑⏑–

Κατθανοῖσα δὲ κείσεαι, οὐδέ ποτα μναμοσύνα σέθεν
ἔσσετ᾽ οὔτε τότ᾽ οὔτ᾽ ὕστερον· οὐ γὰρ πεδέχεις βρόδων
τῶν ἐκ Πιερίας, ἀλλ᾽ ἀφανὴς κἠν Ἀΐδα δόμοις
φοιτάσεις πεδ᾽ ἀμαυρῶν νεκύων ἐκπεποταμένα.

4.

Σαπφὼ πεποίηκεν εἰπόντος τοῦ Ἀλκαίου·
Θέλω τι εἰπῆν, ἀλλά με κωλύει
αἰδώς·

Αἰ δ' ἶχέ σ' ἐσλῶν ἵμερος ἢ καλῶν
καὶ μή τι εἰπῆν γλῶσσ' ἐκύκα κακὸν,
αἰδώς κέ σευ οὐκ εἶχεν ὄππατ',
ἀλλ' ἔλεγες περὶ τῶ δικαίω.

ΣΤΗΣΙΧΟΡΟΥ ΙΜΕΡΑΙΟΥ.

1.

–́⏑⏑ –⏑⏑ –⏑⏑ –⏑⏑ –⏑⏑ –⏓
–́⏑⏑ –⏑⏑ –⏑⏑ –⏑⏑ –⏓
⏑⏑–́ ⏑⏑– ⏑⏑–́ ⏑⏑– ⏑⏑–́ ⏓
⏑⏑–́ ⏑⏑– ⏑⏑–́ ⏑⏑–
⏓⏓–́ ⏑⏑– ⏑⏑–́ ⏑⏑– ⏓⏓–́ ⏑⏑– ⏑–
–́⏑ –⏑ ⏒

Ἀέλιος δ' Ὑπεριονίδας δέπας ἐςκατέβαινε
χρύσεον, ὄφρα δι' Ὠκεανοῖο περάσας
ἀφίκοιθ' ἱερᾶς ποτὶ βένθεα νυκτὸς ἐρεμνᾶς
ποτὶ ματέρα κουριδίαν τ' ἄλοχον
παῖδάς τε φίλους. ὁ δ' ἐς ἄλσος ἔβα δάφναισι κατάσκιον
ποσσὶ παῖς Διός.

2.

–́⏑–⏑ –́⏑⏑ –⏑⏑ –– –́⏑⏑ –⏑⏑ –⏑
–́⏑⏑ –⏑⏑ –⏑
–́⏑⏑ –⏑⏑ –⏑ –́⏑⏑ –⏑⏑ ––

Πολλὰ μὲν Κυδώνια μᾶλα ποτεῤῥίπτουν ποτὶ δίφρον ἄνακτι
πολλὰ δὲ μύῤῥινα φύλλα
καὶ ῥοδίνους στεφάνους ἴων τε κορωνίδας οὔλας.

3.

–́⏑⏑ –⏑⏑ –⏑ –⏑ –́⏑⏑ –
–́⏑⏑ –⏑⏑ – –
–́⏑ – – –⏑ –́⏑⏑ – – –́⏑⏑ –⏑⏑ –⏑⏑ –⏓
–́⏑⏑–⏑ –⏑
–́⏑⏑ –⏑ –

Οὕνεκα Τυνδάρεως ῥέζων ἅπασι θεοῖς
μιᾶς λάθετ' ἠπιοδώρου
Κύπριδος· κείνα δὲ Τυνδάρεω κούραισι χολωσαμένη
διγάμους τε
καὶ τριγάμους τίθησι
καὶ λιπεσήνορας.

4.

⏓⏑–́ ⏑⏑– ⏑⏑–́ ⏓
–́⏑ –⏑
–́⏑⏑ – – – – –́⏑⏑ –⏑⏑ – –

Οὐκ ἔστ' ἔτυμος λόγος οὗτος,
οὐδ' ἔβας ἐν
νηυσὶν ἐϋσσέλμοις, οὐδ' ἵκεο Πέργαμα Τροίας.

ΙΒΥΚΟΥ ΡΗΓΙΝΟΥ.

1.

–́⏑⏑ –⏑⏑ –⏑–
–́⏑⏑ –⏑⏑ –⏑–
–́⏑⏑ –⏑⏑ –⏑–
–́⏑⏑ –⏑⏑ – – –⏑⏑
–́⏑⏑ –́⏑⏑ –⏑⏑ –⏑⏑
–́⏑⏑ –⏑⏑ –⏑⏑ –⏑⏑
–́⏑⏑ –⏑⏑ –⏑– –́⏑⏑ –⏑⏑ –⏑–
–́⏑⏑ –⏑⏑ –⏑– –́⏑⏑ –⏑⏑ –⏑⏑ –⏑⏑ –⏑⏑ –⏑⏑ – –
–́⏑⏑ –⏑⏑ –⏑– –
–́⏑⏑ –⏑⏑

Ἦρι μὲν αἵ τε Κυδώνιαι
μαλίδες ἀρδόμεναι ῥοᾶν
ἐκ ποταμῶν, ἵνα παρθένων
κῆπος ἀκήρατος αἵ τ᾽ οἰνανθίδες
αὐξόμεναι σκιεροῖσιν ὑπ᾽ ἔρνεσιν
οἰναρέοις θαλέθοισιν· ἐμοὶ δ᾽ Ἔρος
οὐδεμίαν κατάκοιτος ὥραν τις ὑπὸ στεροπᾶς φλέγων
Θρηίκιος Βορέας ἀΐσσων παρὰ Κύπριδος ἀζαλέαις
μανιαῖσιν ἐρεμνὸς ἀθαμβὴς
ἐγκρατέως πεδόθεν φυλάσσει
ἁμετέρας φρένας.

2.

⏑́– –́⏑⏑ –⏑⏑ –⏑⏑ –⏑⏑ –⏑⏑ –⏑⏑
–́⏑⏑ – – –́⏑⏑ –́⏑⏑ –́⏑⏑ –́⏑–
–́⏑⏑ –⏑ –́⏑⏑ – –
⏑⏑–́ ⏑⏑– ⏑⏑–
–́⏑⏑ –⏑⏑ –⏑⏑ –⏑⏑ –⏑⏑ – –
– –́⏑⏑ –⏑⏑ –⏑⏑ –⏑⏑ –

Ἔρος αὖτέ με κυανέοισιν ὑπὸ βλεφάροις τακέρ᾽ ὄμμασι
δερκόμενος κηλήμασι παντοδαποῖς ἐς ἄπειρα
δίκτυα Κύπριδος βάλεν. ἦ μὰν
τρομέω νιν ἐπερχόμενον
ὥςτε φερέζυγος ἵππος ἀεθλοφόρος ποτὶ γήρᾳ
ἀέκων σὺν ὄχεσφι θοοῖς ἐς ἅμιλλαν ἔβα.

3.

–́⏑⏑ – – –́⏑⏑ –⏑ ⏓
. . . .
–́⏑⏑ –⏑⏑ –⏑⏑ –⏑ ⏓
–́⏑⏑ –⏑⏑ – – –́⏑⏑ –⏑⏑ –⏑⏑ –⏑

Εὐρύαλε γλαυκέων Χαρίτων θάλος,
. . . .
καλλικόμων μελέδημα, σὲ μὲν Κύπρις
ἅ τ᾽ ἀγανοβλέφαρος Πειθὼ ῥοδέοισιν ἐν ἄνθεσι
θρέψαν.

4.

–́⏑ – – –́⏑ –
–́⏑⏑ –⏑ –⏑ ⏓
–́⏑⏑ ⏑͡⏑⏑⏑ –⏑⏑ – –
–́⏑⏑ –⏑⏑ –⏑⏑ –⏑⏑ –⏑⏑ –

Τούς τε λευκίππους κόρους
τέκνα Μολιόνας κτάνον,
ἅλικας, ἰσοκεφάλους, ἑνιγυίους
ἀμφοτέρους γεγαῶτας ἐν ὠέῳ ἀργυρέῳ.

5.

• • • ⏑⏑– –́⏑⏑ –
×–– –́⏑⏑ –⏑⏑ –
×–– –́⏑⏑ – – –
–́⏑⏑ –⏑⏑ –⏑ –⏑

. . . *παρὰ χέρσον λίθινον δ'*
ἔκλεκτον παλάμαισι βροτῶν
πρόσθεν νιν πεδ' ἀναριτᾶν
ἰχθύες ὠμοφάγοι νέμοντο.

ΑΝΑΚΡΕΟΝΤΟΣ ΤΗΙΟΥ.

1.

×–⏓ –́⏑⏑– ⏑⏓
×–⏓ –́⏑⏑– ⏒

Γουνοῦμαί σ', ἐλαφηβόλε,
ξανθὴ παῖ Διός, ἀγρίων
δέσποιν' Ἄρτεμι θηρῶν,
ἥ κου νῦν ἐπὶ Ληθαίου
δίνης εἶ, θεοκαρδίων
ἀνδρῶν ἐςκαθόρα πόλιν
χαίρουσ'· οὐ γὰρ ἀνημέρους
ποιμαίνεις πολιήτας.

2.

Ὦναξ, ᾧ δαμάλης Ἔρως
καὶ Νύμφαι κυανώπιδες
πορφυρέη τ' Ἀφροδίτη
συμπαίζουσιν, ἐπιστρέφεαι δ'
ὑψηλῶν κορυφὰς ὀρέων,
γουνοῦμαί σε, σὺ δ' εὐμενὴς
ἔλθ' ἡμῖν, κεχαρισμένης δ'
εὐχωλῆς ἐπακούειν·
Κλευβούλῳ δ' ἀγαθὸς γενεῦ
σύμβουλος, τὸν ἐμὸν δ' ἔρωτ',
ὦ Δεύνυσε, δέχεσθαι.

3.

Ὦ παῖ παρθένιον βλέπων,
δίζημαί σε, σὺ δ' οὐ κλύεις
οὐκ εἰδὼς ὅτι τῆς ἐμῆς
ψυχῆς ἡνιοχεύεις.

4.

Ἐγὼ δ' οὔτ' ἂν Ἀμαλθίης
βουλοίμην κέρας οὔτ' ἔτεα
πεντήκοντά τε καὶ ἑκατὸν
Ταρτησσοῦ βασιλεῦσαι.

5.

Σφαίρῃ δηὖτε με πορφυρέῃ
βάλλων χρυσοκόμης Ἔρως
νήνι ποικιλοσαμβάλῳ
συμπαίζειν προκαλεῖται·
ἡ δ', ἐστὶν γὰρ ἀπ' εὐκτίτου
Λέσβου, τὴν μὲν ἐμὴν κόμην,
λεύκη γάρ, καταμέμφεται,
πρὸς δ' ἄλλην τινὰ χάσκει.

6.

–́⏓ –́⏑⏑– ⏑– –́⏓ –́⏑⏑– ⏒

Ἠρίστησα μὲν ἰτρίου λεπτοῦ μικρὸν ἀποκλάς,
οἴνου δ' ἐξέπιον κάδον, νῦν δ' ἁβρῶς ἐρόεσσαν
ψάλλω πηκτίδα τῇ φίλῃ κωμάζων παιδὶ ἁβρῇ.

7.

Χαμαιλέων δ' ὁ Ποντικὸς ἐν τῷ περὶ Ἀνακρέοντος προθεὶς τὸ

Ξανθῇ δ' Εὐρυπύλῃ μέλει
ὁ περιφόρητος Ἀρτέμων·

τὴν προσηγορίαν ταύτην λαβεῖν τὸν Ἀρτέμωνα διὰ τὸ τρυφερῶς βιοῦντα περιφέρεσθαι ἐπὶ κλίνης. καὶ γὰρ Ἀνακρέων αὐτὸν ἐκ πενίας εἰς τρυφὴν ὁρμῆσαί φησιν ἐν τούτοις·

–́⏑⏑– –́⏑⏑– –́⏑⏑– (⏓–́⏑–) ⏓–́⏑–
–́⏑⏑– –́⏑⏑– –́⏑⏑– (⏓–́⏑–) ⏓–́⏑–
⏓–́⏑– ⏓–́⏑–

Πρὶν μὲν ἔχων βερβέριον, καλύμματ' ἐσφηκωμένα,
καὶ ξυλίνους ἀστραγάλους ἐν ὠσὶ καὶ ψιλὸν περὶ
πλευρῇσι – ⏓–́ βοός,
νεόπλυτον εἴλυμα κακῆς ἀσπίδος, ἀρτοπώλισιν
κἠθελοπόρνοισιν ὁμιλέων ὁ πονηρὸς Ἀρτέμων,
κίβδηλον εὑρίσκων βίον,
πολλὰ μὲν ἐν δουρὶ τιθεὶς αὐχένα, πολλὰ δ' ἐν τροχῷ,
πολλὰ δὲ νῶτον σκυτίνῃ μάστιγι θωμιχθείς, κόμην
πώγωνά τ' ἐκτετιλμένος·
νῦν δ' ἐπιβαίνει σατινέων, χρύσεα φορέων καθέρματα
πάϊς Κύκης καὶ σκιαδίσκην ἐλεφαντίνην φορέει
γυναιξὶν αὔτως –́⏑⏒.

8.

⏑⏑–́–́ ⏒⏑–́–́ ⏑⏑–́–́ ⏒⏑–́–́

Πολιοὶ μὲν ἡμὶν ἤδη κρόταφοι κάρη τε λευκόν,
χαρίεσσα δ' οὐκέθ' ἥβη πάρα, γηράλεοι δ' ὀδόντες,
γλυκεροῦ δ' οὐκέτι πολλὸς βιότου χρόνος λέλειπται.

διὰ ταῦτ᾽ ἀνασταλύζω θαμὰ Τάρταρον δεδοικώς·
Ἀΐδεω γάρ ἐστι δεινὸς μυχός, ἀργαλέη δ᾽ ἐς αὐτὸν
κάθοδος· καὶ γὰρ ἕτοιμον καταβάντι μὴ ἀναβῆναι.

9.

⏑⏑–⏒ ⏓⏑––.

Φέρ᾽ ὕδωρ, φέρ᾽ οἶνον, ὦ παῖ,
φέρε δ᾽ ἀνθεμεῦντας ἡμὶν
στεφάνους, ἔνεικον ὡς μὴ
πρὸς Ἔρωτα πυκταλίζω.

10.

Ἄγε δὴ φέρ᾽ ἡμίν, ὦ παῖ,
κελέβην, ὅκως ἄμυστιν
προπίω, τὰ μὲν δέκ᾽ ἐγχέας
ὕδατος, τὰ πέντε δ᾽ οἴνου
κυάθους, ὡς ἀνυβριστὶ
ἀνὰ δηὖτε Βασσαρήσω.
ἄγε δηὖτε μηκέθ᾽ οὕτω
πατάγῳ τε κἀλαλητῷ
Σκυθικὴν πόσιν παρ᾽ οἴνῳ
μελετῶμεν, ἀλλὰ καλοῖς
ὑποπίνοντες ἐν ὕμνοις.

11.

Τὸν Ἔρωτα γὰρ τὸν ἁβρὸν
μέλομαι βρύοντα μίτραις
πολυανθέμοις ἀείδειν·
ὅδε γὰρ θεῶν δυνάστης,
ὅδε καὶ βροτοὺς δαμάζει.

12.

Πῶλε Θρηκίη, τί δή με λοξὸν ὄμμασι βλέπουσα
νηλεῶς φεύγεις, δοκέεις δέ μ᾽ οὐδὲν εἰδέναι σοφόν;
ἴσθι τοι, καλῶς μὲν ἄν τοι τὸν χαλινὸν ἐμβάλοιμι,
ἡνίας δ᾽ ἔχων στρέφοιμί σ᾽ ἀμφὶ τέρματα δρόμου.
νῦν δὲ λειμῶνάς τε βόσκεαι κοῦφά τε σκιρτῶσα παίζεις·
δεξιὸν γὰρ ἱπποσείρην οὐκ ἔχεις ἐπεμβάτην.

ΑΝΑΚΡΕΟΝΤΕΙΑ.

13.

Τὸν ἄργυρον τορεύσας,
Ἥφαιστέ, μοι ποίησον
πανοπλίας μὲν οὐχί,
ποτήριον δὲ κοῖλον
ὅσον δύνῃ βάθυνον.

Ποίει δέ μοι κατ᾽ αὐτὸ
μήτ᾽ ἄστρα μήτ᾽ ἁμάξας,
μὴ στυγνὸν Ὠρίωνα·
τί Πλειάδων μέλει μοι;
τί δ᾽ ἀστέρος Βοώτεω;

Ποίησον ἀμπέλους μοι
καὶ βότρυας κατ᾽ αὐτῶν.
καὶ χρυσέους πατοῦντας
ὁμοῦ καλῷ Λυαίῳ
Ἔρωτα καὶ Βάθυλλον.

14.

Ἐγὼ γέρων μέν εἰμι,
νέων πλέον δὲ πίνω·
κἂν μὲν δέῃ χορεύειν,
Σειληνὸν ἐν μέσοισι
μιμούμενος χορεύσω
σκῆπτρον ἔχων τὸν ἀσκόν.
ὁ δ᾽ οὐδέν ἐστι νάρθηξ·
ὁ μὲν θέλων μάχεσθαι,
πάρεστι γάρ, μαχέσθω.
ἐμοὶ κύπελλον, ὦ παῖ,
μελιχρὸν οἶνον ἡδὺν
ἐγκεράσας φόρησον.

15.

Τί σοι θέλεις ποιήσω;
τί, κωτίλη χελιδών;
τὰ ταρσά σευ τὰ κοῦφα
θέλεις λαβὼν ψαλίξω;
ἢ μᾶλλον ἔνδοθέν σευ
τὴν γλῶσσαν, ὡς ὁ Τηρεὺς
ἐκεῖνος, ἐκθερίξω;
τί μευ καλῶν ὀνείρων,
ὑπορθρίαισι φωναῖς
ἀφήρπασάς Βάθυλλον;

16.

Ἄφες με, τοὺς θεούς σοι,
πιεῖν πιεῖν ἀμυστί·
θέλω θέλω μανῆναι.
ἐμαίνετ' Ἀλκμαίων τε
χὼ λευκόπους Ὀρέστης
τὰς μητέρας κτανόντες·

Ἐγὼ δὲ μηδένα κτάς,
πιὼν δ' ἐρυθρὸν οἶνον
θέλω θέλω μανῆναι.
ἐμαίνετ' Ἡρακλῆς πρὶν
δεινὴν κλονῶν φαρέτρην
καὶ τόξον Ἰφίτειον.

Ἐμαίνετο πρὶν Αἴας
μετ' ἀσπίδος κραδαίνων
τὴν Ἕκτορος μάχαιραν.
ἐγὼ δ' ἔχων κύπελλον
καὶ στέμμα τοῦτο χαίταις,
οὐ τόξον, οὐ μάχαιραν,
θέλω θέλω μανῆναι.

17.

Λέγουσιν αἱ γυναῖκες,
Ἀνακρέων, γέρων εἶ·
λαβὼν ἔσοπτρον ἄθρει
κόμας μὲν οὐκέτ᾽ οὔσας,
ψιλὸν δέ σευ μέτωπον.
ἐγὼ δὲ τὰς κόμας μέν,
εἴτ᾽ εἰσὶν εἴτ᾽ ἀπῆλθον,
οὐκ οἶδα· τοῦτο δ᾽ οἶδα,
ὡς τῷ γέροντι μᾶλλον
πρέπει τὸ τερπνὰ παίζειν,
ὅσῳ πέλας τὰ Μοίρης.

18.

Ὁ ἀνὴρ ὁ τῆς Κυθήρης
παρὰ Λημνίαις καμίνοις
τὰ βέλη τὰ τῶν Ἐρώτων
ἐποίει λαβὼν σίδηρον.
ἀκίδας δ᾽ ἔβαπτε Κύπρις
μέλι τὸ γλυκὺ λαβοῦσα·
ὁ δ᾽ Ἔρως χολὴν ἔμισγεν.
ὁ δ᾽ Ἄρης ποτ᾽ ἐξ ἀϋτῆς
στιβαρὸν δόρυ κραδαίνων
βέλος ηὐτέλιζ᾽ Ἔρωτος·
ὁ δ᾽ Ἔρως, τόδ᾽ ἐστίν, εἶπεν,
βαρύ· πειράσας νοήσεις.
ἔλαβεν βέλεμνον Ἄρης,
ὑπεμειδίασε Κύπρις.
ὁ δ᾽ Ἄρης ἀναστενάξας,
βαρύ, φησίν· ἆρον αὐτό.
ὁ δ᾽ Ἔρως, ἔχ᾽ αὐτό, φησίν.

19.

Θέλω λέγειν Ἀτρείδας,
θέλω δὲ Κάδμον ᾄδειν·
ὁ βάρβιτος δὲ χορδαῖς

Ἔρωτα μοῦνον ἠχεῖ.
ἤμειψα νεῦρα πρώην
καὶ τὴν λύρην ἅπασαν,
κἀγὼ μὲν ᾖδον ἄθλους
Ἡρακλέους, λύρη δὲ
Ἔρωτας ἀντεφώνει.
χαίροιτε λοιπὸν ἡμῖν,
ἥρωες· ἡ λύρη γὰρ
μόνους Ἔρωτας ᾄδει.

20.

Φύσις κέρατα ταύροις,
ὁπλὰς δ᾽ ἔδωκεν ἵπποις,
ποδωκίην λαγωοῖς,
λέουσι χάσμ᾽ ὀδόντων,
τοῖς ἰχθύσιν τὸ νηκτόν,
τοῖς ὀρνέοις πέτασθαι,
τοῖς ἀνδράσιν φρόνημα·
γυναιξὶν οὐκ ἔτ᾽ εἶχεν·
τί οὖν δίδωσι; κάλλος
ἀντ᾽ ἀσπίδων ἁπασῶν,
ἀντ᾽ ἐγχέων ἁπάντων.
νικᾷ δὲ καὶ σίδηρον
καὶ πῦρ καλή τις οὖσα.

21.

Επὶ μυρσίναις τερείναις,
ἐπὶ λωτίναις τε ποίαις
στορέσας θέλω προπίνειν.
ὁ δ᾽ Ἔρως χιτῶνα δήσας
ὑπὲρ αὐχένος παπύρῳ
μέθυ μοι διακονείτω.

Τροχὸς ἅρματος γὰρ οἷα
βίοτος τρέχει κυλισθείς·
ὀλίγη δὲ κεισόμεσθα

κόνις ὀστέων λυθέντων.
τί σε δεῖ λίθον μυρίζειν;
τί δὲ γῇ χέειν μάταια;

Ἐμὲ μᾶλλον, ὡς ἔτι ζῶ,
μύρισον, ῥόδοις δὲ κρᾶτα
πύκασον, κάλει δ' ἑταίρην.
πρὶν ἐκεῖσε δεῖ μ' ἀπελθεῖν
ὑπὸ νερτέρων χορείας,
σκεδάσαι θέλω μερίμνας.

22.

Οὔ μοι μέλει τὰ Γύγεω
τοῦ Σαρδίων ἄνακτος,
οὐδ' εἷλέ πώ με ζῆλος,
οὐδὲ φθονῶ τυράννοις.
ἐμοὶ μέλει μύροισιν
καταβρέχειν ὑπήνην,
ἐμοὶ μέλει ῥόδοισιν
καταστέφειν κάρηνα.

23.

Ἡ γῆ μέλαινα πίνει,
πίνει δὲ δένδρε' αὐτήν,
πίνει θάλασσ' ἀναύρους,
ὁ δ' ἥλιος θάλασσαν,
τὸν δ' ἥλιον σελήνη.
τί μοι μάχεσθ', ἑταῖροι,
καὐτῷ θέλοντι πίνειν;

24.

Αἱ Μοῦσαι τὸν Ἔρωτα
δήσασαι στεφάνοισι
τῷ Κάλλει παρέδωκαν.
καὶ νῦν ἡ Κυθέρεια
ζητεῖ λύτρα φέρουσα
λύσασθαι τὸν Ἔρωτα.

κἂν λύσῃ δέ τις αὐτόν,
οὐκ ἔξεισι, μενεῖ δέ·
δουλεύειν δεδίδακται.

25.

Ἔρως ποτ' ἐν ῥόδοισι
κοιμωμένην μέλιτταν
οὐκ εἶδεν, ἀλλ' ἐτρώθη
τὸν δάκτυλον. παταχθεὶς
τὰς χεῖρας ὠλόλυξεν·
δραμὼν δὲ καὶ πετασθεὶς
πρὸς τὴν καλὴν Κυθήρην,
ὄλωλα, μῆτερ, εἶπεν,
ὄλωλα κἀποθνήσκω.
ὄφις μ' ἔτυψε μικρὸς
πτερωτός, ὃν καλοῦσιν
μέλιτταν οἱ γεωργοί.
ἁ δ' εἶπεν· εἰ τὸ κέντρον
πονεῖ τὸ τᾶς μελίττας,
πόσον δοκεῖς πονοῦσιν,
Ἔρως, ὅσους σὺ βάλλεις;

ΣΙΜΩΝΙΔΟΥ ΚΕΙΟΥ.

1.

Εἰς τοὺς ἐν Θερμοπύλαις θανόντας.

– – –́⏑⏑ –⏑ – –
–́⏑–⏑ –⏑–⏑ –⏑–⏑
– –́⏑⏑ –⏑⏑ – – –́⏑⏑ –⏑⏑ –́–
–́⏑⏑ –⏑⏑ –⏑– –́–
–⏑ –́⏑⏑ –⏑– – –́⏑⏑– –́⏑⏑–
⏑⏑–́⏑ –́⏑– – –́⏑–
–́⏑⏑ –⏑⏑ –⏑ –́⏑⏑ –⏑–
– – –́⏑⏑ –⏑⏑ –⏑–⏑ – –
–⏑ –́⏑⏑ –⏑⏑ ⏓

Τῶν ἐν Θερμοπύλαις θανόντων
εὐκλεὴς μὲν ἁ τύχα, καλὸς δ᾽ ὁ πότμος,
βωμὸς δ᾽ ὁ τάφος, πρὸ γόων δὲ μνᾶστις, ὁ δ᾽ οἶκτος ἔπαινος.
ἐντάφιον δὲ τοιοῦτον οὔτ᾽ εὐρὼς
οὔθ᾽ ὁ πανδαμάτωρ ἀμαυρώσει χρόνος ἀνδρῶν ἀγαθῶν.
ὁ δὲ σακὸς οἰκέταν εὐδοξίαν
Ἑλλάδος εἵλετο, μαρτυρεῖ δὲ Λεωνίδας
ὁ Σπάρτας βασιλεὺς ἀρετᾶς μέγαν λελοιπὼς
κόσμον ἀέναόν τε κλέος.

2.

–́⏑–– –́⏑⏑ –́⏑⏑ –́– –́⏑⏑ –⏑⏑ –⏑
–́⏑⏑ –⏑⏑ –
–́⏑⏑ –⏑⏑ –
–́⏑⏑ –⏑⏑ –⏑⏑ –⏑⏑ ––
–́⏑–– –́⏑–– –⏑ –́⏑⏑– –́ –
⏑–́⏑⏑ –⏑⏑– –́ –
⏑–́⏑ –́⏑⏑ –⏑⏑ –́– –́⏑–– –́⏑–⏑ ––

Τίς κεν αἰνήσειε νόῳ πίσυνος Λίνδου ναέταν Κλεόβουλον
ἀενάοις ποταμοῖς
ἄνθεσί τ᾽ εἰαρινοῖς
ἀελίου τε φλογὶ χρυσέας τε σελάνας
καὶ θαλασσαίαισι δίναις ἀντιθέντα μένος στάλας;
ἅπαντα γάρ ἐστι θεῶν ἥσσω·
λίθον δὲ καὶ βρότεοι παλάμαι θραύοντι· μωροῦ φωτὸς ἅδε βουλά.

2

ΕΠΙΝΙΚΙΟΝ.

Σκόπᾳ τῷ Κρέοντος Θεσσαλῷ τεθρίππῳ.

Strophæ.

–́⏑⏑ –⏑⏑ –⏑–⏑– –́⏑⏑⏓
––́⏑ –́⏑⏑ –⏑– ×⏑ –́⏑⏑ –⏑–⏑̄ –́⏑–
⏑⏑–́⏑– ×⏑ –́⏑⏑–⏑– ×⏑ –́⏑⏑–⏑⏓
⏑ ⏑⏑ –́⏑– ×⏑ –́⏑⏑–
– –́⏑– ×⏑ –́⏑⏑–
⏑–́ –́⏑––
×⏑ –́⏑⏑ –– –́⏑⏑ –́⏑–⏑̄

Epodus.

⏑–́ – –́ –
⏑–́ –́⏑⏑–
×⏑ –́⏑⏑ –⏑– ×⏑ –́⏑⏑ –⏑ –́⏑⏑ –⏑⏓
–́⏑⏑ –– –́⏑–
–́⏑⏑ –⏑⏑ –⏑̄
×⏑ –́⏑⏑ –⏑ –́⏑⏑ –⏑̄
×⏑ –́⏑⏑ –⏑–⏑ –́⏑––

Στροφὴ α'.

Ἄνδρ' ἀγαθὸν μὲν ἀλαθέως γενέσθαι χαλεπὸν
χερσίν τε καὶ ποσὶ καὶ νόῳ τετράγωνον ἄνευ ψόγου
τετυγμένον.

. . . .

Ἀντιστροφὴ α'.

Οὐδέ μοι ἐμμελέως τὸ Πιττάκειον νέμεται,
καίτοι σοφοῦ παρὰ φωτὸς εἰρημένον· χαλεπὸν φάτ'
ἐσλὸν ἔμμεναι.
Θεὸς ἂν μόνος τοῦτ' ἔχοι γέρας· ἄνδρα δ' οὐκ ἔστι
μὴ οὐ κακὸν ἔμμεναι,
ὃν ἂν ἀμάχανος συμφορὰ καθέλῃ·

πράξαις γὰρ εὖ πᾶς ἀνὴρ ἀγαθός,
κακὸς δ' εἰ κακῶς, καὶ
τοὐπιπλεῖστον ἄριστοι τούς κε θεοὶ φιλῶσιν.

Ἐπῳδὸς α'.

Ἔμοιγ' ἐξαρκεῖ
ὃς ἂν μὴ κακὸς ᾖ
μηδ' ἄγαν ἀπάλαμνος εἰδώς τ' ὀνασίπολιν δίκαν
ὑγιὴς ἀνήρ·
οὔ μιν ἐγὼ μωμάσομαι·
οὐ γὰρ ἐγὼ φιλόμωμος·
τῶν γὰρ ἀλιθίων ἄπειρα γένεθλα.
πάντα τοι καλὰ τοῖσί τ' αἰσχρὰ μὴ μέμικται.

Στροφὴ β'.

Τοὔνεκεν οὔποτ' ἐγὼ τὸ μὴ γενέσθαι δυνατὸν
διζήμενος κενεὰν ἐς ἄπρακτον ἐλπίδα μοῖραν αἰῶνος βαλέω,
πανάμωμον ἄνθρωπον, εὐρυεδοῦς ὅσοι καρπὸν αἰνύμεθα χθονός·
ἔπειτ' ὔμμιν εὑρὼν ἀπαγγελέω.
πάντας δ' ἐπαίνημι καὶ φιλέω,
ἑκὼν ὅςτις ἔρδῃ
μηδὲν αἰσχρόν· ἀνάγκᾳ δ' οὐδὲ θεοὶ μάχονται.

3.

. . . . –́⏑⏑ –⏑⏑
–́⏑⏑ –– –́⏑–⏒ –́⏑⏑ ––
–́ ⏑–– –́⏑–⏒ –́⏑–
–́⏑–́– –́⏑⏑–́– –́⏑–⏒
––́⏑⏑ –⏑ –́– –́⏑–
⏑–́⏑–⏒ –́⏑– ––

. . . . . , . Ἔστι δέ τις λόγος
τὰν Ἀρετὰν ναίειν δυςαμβάτοις ἐπὶ πέτραις,
ἁγνὰν δέ μιν θεὰν χῶρον ἁγνὸν ἀμφέπειν·
οὐδὲ γὰρ πάντων γλεφάροις θνατῶν ἔςοπτος
ᾧ μὴ δακέθυμος ἱδρὼς ἔνδοθεν
μόλῃ ἵκῃ τ' ἐς ἄκρον ἀνδρείας.

4.

ΔΑΝΑΗ.

∪ ⊥∪∪– ⊥∪∪ –∪∪ –∪⏓
.⊥ – ⊥∪∪ ––
⊥∪∪ –∪∪ –∪∪ – ⊥∪∪ ––
⊥∪∪ –∪∪ –∪∪ –∪∪
⊥∪∪ –∪∪ –∪∪ –∪∪
∪⊥ ⊥∪∪ ––
⊥∪–– ⊥∪∪ ––
⊥∪∪ –∪∪ –– ⊥∪ ––
⊥∪∪ –∪∪ –∪–
⊥∪∪ –∪ ⊥∪∪–
∪⊥∪– ⊥∪∪–⏒
⊥∪∪ –∪∪ –
⊥∪∪– ⊥–
⊥∪∪– ⊥∪∪– ∪́∪∪∪– ⊥∪⏓
⊥∪–– ⊥∪∪ –∪–
⊥∪∪– ⊥∪– ⊥∪∪–∪–⏒
∪∪⊥ ∪∪⏒
⊥∪–∪–⏒
–∪ ⊥∪∪–∪⏓
∪⊥∪∪ –∪–∪– –
⊥∪∪ –∪∪
⊥∪∪ –∪∪ –∪∪ –∪⏒
–∪́∪∪– –⊥∪–

Ὅτε λάρνακι δ' ἐν δαιδαλέᾳ ἄνεμός πέσεν
πνέων κινηθεῖσά τε λίμνα,
δείματι ἤριπεν οὔτ' ἀδιάντασι παρειαῖς
ἀμφί τε Περσέϊ βάλλε φίλαν χέρα
εἶπέ τε· ὦ τέκος, οἷον ἔχω πόνον,
σὺ δ' αὔτως γαλαθηνῷ
στήθεϊ κνώσσεις ἐν ἀτερπεῖ
δώματι χαλκεογόμφῳ, νυκτιλαμπεῖ
κυανέῳ τε δνόφῳ ταθείς,
αὐαλέαν δ' ὕπερθε τεὰν
κόμαν βαθεῖαν παριόντος
κύματος οὐκ ἀλέγεις
οὐδ' ἀνέμου φθόγγων
κείμενος ἐν πορφυρέᾳ χλανίδι, πρόσωπον καλόν.
εἰ δέ τοι δεινὸν τό γε δεινὸν ἦν,
καί κεν ἐμῶν ῥημάτων λεπτὸν ὑπεῖχες οὖας.
κέλομ', εὗδε, βρέφος,
εὑδέτω δὲ πόντος,
εὑδέτω ἄμετρον κακόν.
μεταιβολία δέ τις φανείη,
Ζεῦ πάτερ, ἐκ σέο·
ὅττι δὲ θαρσαλέον ἔπος εὔχομαι,
τεκνόφι δίκαν σύγγνωθί μοι.

ΠΙΝΔΑΡΟΥ ΘΗΒΑΙΟΥ.

1.

ΟΛΥΜΠΙΟΝΙΚΗ Α'.

Ἱέρωνι Συρακοσίῳ κέλητι.

Strophae.

⏑–́ –́⏑⏑–⏑– –⏑ –́⏑⏑ –⏓
⏑ ⏑⏑ –́⏑– –́⏑⏑–⏑⏑–⏑⏑–⏓
–́⏑–⏑–⏑⏓
–⏑ –́⏑⏑–⏓
–́⏑–⏑–⏑⏓
–́⏑–⏑ ⏑⏑ ⏑–⏑–⏑–́⏑ –́⏑⏑– –́⏑–⏑⏓
–́⏑–⏑ –⏑–⏑ –́⏑⏑– –́⏑⏓
⏑ ⏑⏑ ⏑ ⏑⏑ ⏑–⏑–⏑–⏑⏓
⏑ ⏑⏑ –́⏑– ⏑⏑ ⏑⏓
⏑–́ –́⏑–⏑– ⏑⏑ ⏑⏓
⏑–́ ⏑⏑⏑–⏑–⏑⏓

Epodi.

⏑–́ ⏑⏑⏑–⏑– –́⏑⏑ –⏑– –́⏑–⏑⏓
⏑–́ –́⏑⏑– –́⏑ ⏑⏑⏑–⏑⏓
–́⏑–⏑–⏑ –́⏑⏑– –́⏑⏓
⏑–́ –́⏑– –́⏑⏑–⏑–⏑ –́⏑⏑ –⏓
⏑⏑–́⏑–́⏑⏑– –́⏑–⏑⏓
––́⏑⏑–⏑– –́⏑–⏑– ⏑⏑⏑ –́⏑⏑– –́⏑⏓
⏑–́ –́⏑– –́⏑⏑–⏑– –́⏑⏑ –⏑– ⏓

Στροφὴ α΄.

Ἄριστον μὲν ὕδωρ, ὁ δὲ χρυσὸς αἰθόμενον πῦρ
ἅτε διαπρέπει νυκτὶ μεγάνορος ἔξοχα πλούτου·
εἰ δ' ἄεθλα γαρύεν
ἔλδεαι, φίλον ἦτορ,
μηκέθ' ἁλίου σκόπει
ἄλλο θαλπνότερον ἐν ἁμέρᾳ φαεννὸν ἄστρον ἐρήμας δι' αἰθέρος,
μηδ' Ὀλυμπίας ἀγῶνα φέρτερον αὐδάσομεν·
ὅθεν ὁ πολύφατος ὕμνος ἀμφιβάλλεται
σοφῶν μητίεσσι, κελαδεῖν
Κρόνου παῖδ', ἐς ἀφνεὰν ἱκομένοις
μάκαιραν Ἱέρωνος ἑστίαν,

Ἀντιστροφὴ α΄.

θεμιστεῖον ὃς ἀμφέπει σκᾶπτον ἐν πολυμάλῳ
Σικελίᾳ, δρέπων μὲν κορυφὰς ἀρετᾶν ἄπο πασᾶν,
ἀγλαΐζεται δὲ καὶ
μουσικᾶς ἐν ἀώτῳ,
οἷα παίζομεν φίλαν
ἄνδρες ἀμφὶ θαμὰ τράπεζαν. ἀλλὰ Δωρίαν ἀπὸ φόρμιγγα πασσάλου
λάμβαν', εἴ τί τοι Πίσας τε καὶ Φερενίκου χάρις
νόον ὑπὸ γλυκυτάταις ἔθηκε φροντίσιν,
ὅτε παρ' Ἀλφεῷ σύτο δέμας
ἀκέντητον ἐν δρόμοισι παρέχων,
κράτει δὲ προσέμιξε δεσπόταν,

Ἐπῳδὸς α΄.

Συρακόσιον ἱπποχάρμαν βασιλῆα. λάμπει δέ οἱ κλέος
ἐν εὐάνορι Λυδοῦ Πέλοπος ἀποικίᾳ,
τοῦ μεγασθενὴς ἐράσσατο γαιάοχος

Ποσειδᾶν, ἐπεί νιν καθαροῦ λέβητος ἔξελε Κλωθὼ
ἐλέφαντι φαίδιμον ὦμον κεκαδμένον.
ἦ θαύματα πολλά, καί πού τι καὶ βροτῶν φάτις ὑπὲρ
τὸν ἀλαθῆ λόγον
δεδαιδαλμένοι ψεύδεσι ποικίλοις ἐξαπατῶντι μῦθοι.

Στροφὴ β'.

Χάρις δ᾽ ἅπερ ἅπαντα τεύχει τὰ μείλιχα θνατοῖς
ἐπιφέροισα τιμὰν καὶ ἄπιστον ἐμήσατο πιστὸν
ἔμμεναι τὸ πολλάκις·
ἁμέραι δ᾽ ἐπίλοιποι
μάρτυρες σοφώτατοι.
ἔστι δ᾽ ἀνδρὶ φάμεν ἐοικὸς ἀμφὶ δαιμόνων καλά·
μείων γὰρ αἰτία.
υἱὲ Ταντάλου, σὲ δ᾽ ἀντία προτέρων φθέγξομαι,
ὁπότ᾽ ἐκάλεσε πατὴρ ἐς εὐνομώτατον
τὸν ἔρανον φίλαν τε Σιπύλου,
ἀμοιβαῖα θεοῖσι δεῖπνον παρέχων,
τότ᾽ Ἀγλαοτρίαιναν ἁρπάσαι

Ἀντιστροφὴ β'.

δαμέντα φρένας ἱμέρῳ χρυσέαισιν ἀν᾽ ἵπποις
ὕπατον εὐρυτίμου ποτὶ δῶμα Διὸς μεταβᾶσαι,
ἔνθα δευτέρῳ χρόνῳ
ἦλθε καὶ Γανυμήδης
Ζηνὶ τωὔτ᾽ ἐπὶ χρέος.
ὡς δ᾽ ἄφαντος ἔπελες, οὐδὲ ματρὶ πολλὰ μαιόμενοι
φῶτες ἄγαγον·
ἔννεπε κρυφᾶ τις αὐτίκα φθονερῶν γειτόνων,
ὕδατος ὅτι τε πυρὶ ζέοισαν ἀμφ᾽ ἀκμὰν
μαχαίρᾳ τάμον κάτα μέλη,
τραπέζαισί τ᾽ ἀμφὶ δεύτατα κρεῶν
σέθεν διεδάσαντο καὶ φάγον.

Ἐπῳδὸς β΄.

ἐμοὶ δ᾽ ἄπορα γαστρίμαργον μακάρων τιν᾽ εἰπεῖν. ἀφίσταμαι.
ἀκέρδεια λέλογχεν θαμινὰ κακαγόρος.
εἰ δὲ δή τιν᾽ ἄνδρα θνατὸν Ὀλύμπου σκοποὶ
ἐτίμασαν, ἦν Τάνταλος οὗτος· ἀλλὰ γὰρ καταπέψαι
μέγαν ὄλβον οὐκ ἐδυνάσθη, κόρῳ δ᾽ ἕλεν
ἄταν ὑπέροπλον, ἅν οἱ πατὴρ ὑπερκρέμασε καρτερὸν αὐτῷ λίθον,
τὸν ἀεὶ μενοινῶν κεφαλᾶς βαλεῖν εὐφροσύνας ἀλᾶται.

Στροφὴ γ΄.

ἔχει δ᾽ ἀπάλαμνον βίον τοῦτον ἐμπεδόμοχθον,
μετὰ τριῶν τέταρτον πόνον, ἀθανάτων ὅτι κλέψαις
ἁλίκεσσι συμπόταις
νέκταρ ἀμβροσίαν τε
δῶκεν, οἷσιν ἄφθιτον
θέσσαν. εἰ δὲ θεὸν ἀνήρ τις ἔλπεταί τι λαθέμεν ἔρδων, ἁμαρτάνει.
τοὔνεκα προῆκαν υἱὸν ἀθάνατοί οἱ πάλιν
μετὰ τὸ ταχύποτμον αὖτις ἀνέρων ἔθνος.
πρὸς εὐάνθεμον δ᾽ ὅτε φυὰν
λάχναι νιν μέλαν γένειον ἔρεφον,
ἑτοῖμον ἀνεφρόντισεν γάμον

Ἀντιστροφὴ γ΄.

Πισάτα παρὰ πατρὸς εὔδοξον Ἱπποδάμειαν
σχεθέμεν. ἄγχι δ᾽ ἐλθὼν πολιᾶς ἁλὸς οἶος ἐν ὄρφνᾳ
ἄπυεν βαρύκτυπον
Εὐτρίαιναν· ὁ δ᾽ αὐτῷ
πὰρ ποδὶ σχεδὸν φάνη.
τῷ μὲν εἶπε· φίλια δῶρα Κυπρίας ἄγ᾽ εἴ τι, Ποσείδαον, ἐς χάριν

τέλλεται, πέδασον ἔγχος Οἰνομάου χάλκεον,
ἐμὲ δ' ἐπὶ ταχυτάτων πόρευσον ἁρμάτων
ἐς Ἆλιν, κράτει δὲ πέλασον.
ἐπεὶ τρεῖς τε καὶ δέκ' ἄνδρας ὀλέσαις
ἐρῶντας ἀναβάλλεται γάμον

Ἐπῳδὸς γ'.

θυγατρός. ὁ μέγας δὲ κίνδυνος ἄναλκιν οὐ φῶτα λαμβάνει.
θανεῖν δ' οἷσιν ἀνάγκα, τί κέ τις ἀνώνυμον
γῆρας ἐν σκότῳ καθήμενος ἕψοι μάταν
ἁπάντων καλῶν ἄμμορος; ἀλλ' ἐμοὶ μὲν οὗτος ἄεθλος
ὑποκείσεται· τὺ δὲ πρᾶξιν φίλαν δίδοι.
ὣς ἔννεπεν· οὐδ' ἀκράντοις ἐφάψατ' ὦν ἔπεσι. τὸν μὲν ἀγάλλων θεὸς
ἔδωκεν δίφρον τε χρύσεον πτεροῖσίν τ' ἀκάμαντας ἵππους.

Στροφὴ δ'.

ἕλεν δ' Οἰνομάου βίαν παρθένον τε σύνευνον·
τέκε τε λαγέτας ἓξ ἀρεταῖσι μεμαλότας υἱούς.
νῦν δ' ἐν αἱμακουρίαις
ἀγλααῖσι μέμικται,
Ἀλφεοῦ πόρῳ κλιθείς,
τύμβον ἀμφίπολον ἔχων πολυξενωτάτῳ παρὰ βωμῷ. τὸ δὲ κλέος
τηλόθεν δέδορκε τᾶν Ὀλυμπιάδων ἐν δρόμοις
Πέλοπος, ἵνα ταχυτὰς ποδῶν ἐρίζεται
ἀκμαί τ' ἰσχύος θρασύπονοι·
ὁ νικῶν δὲ λοιπὸν ἀμφὶ βίοτον
ἔχει μελιτόεσσαν εὐδίαν

Ἀντιστροφὴ δ'.

ἀέθλων γ' ἕνεκεν. τὸ δ' αἰεὶ παράμερον ἐσλὸν
ὕπατον ἔρχεται παντὶ βροτῷ. ἐμὲ δὲ στεφανῶσαι
κεῖνον ἱππίῳ νόμῳ
Αἰοληΐδι μολπᾷ
χρή· πέποιθα δὲ ξένον
μή τιν' ἀμφότερα καλῶν τε ἴδριν, ἀλλὰ καὶ δύναμιν κυριώτερον
τῶν γε νῦν κλυταῖσι δαιδαλωσέμεν ὕμνων πτυχαῖς.
θεὸς ἐπίτροπος ἐὼν τεαῖσι μήδεται
ἔχων τοῦτο κᾶδος, Ἱέρων,
μερίμναισιν· εἰ δὲ μὴ ταχὺ λίποι,
ἔτι γλυκυτέραν κεν ἔλπομαι

Ἐπῳδὸς δ'.

σὺν ἅρματι θοῷ κλεΐξειν, ἐπίκουρον εὑρὼν ὁδὸν λόγων,
παρ' εὐδείελον ἐλθὼν Κρόνιον. ἐμοὶ μὲν ὦν
Μοῖσα καρτερώτατον βέλος ἀλκᾷ τρέφει·
ἐπ' ἄλλοισι δ' ἄλλοι μεγάλοι. τὸ δ' ἔσχατον κορυφοῦται
βασιλεῦσι. μηκέτι πάπταινε πόρσιον.
εἴη σέ τε τοῦτον ὑψοῦ χρόνον πατεῖν, ἐμέ τε τοσσάδε νικαφόροις
ὁμιλεῖν, πρόφαντον σοφίᾳ καθ' Ἕλλανας ἐόντα παντᾷ.

2.

ΟΛΥΜΠΙΟΝΙΚΗ Β′.

Θήρωνι Ἀκραγαντίνῳ ἅρματι.

Strophæ.

⏑–́⏑– –́⏑–⏓
⏑ ⏑⏑ –́⏑– –́⏑⏑⏑ –́⏑⏑⏑ –́⏑⏓
––́⏑– –́⏑⏑⏑ –́⏑⏑⏑ – –́⏑– ⏑⏑⏑⏓
–́⏑– ⏑⏑⏑⏓
– –́⏑⏑⏑ –́⏑– ⏑⏑⏑– –́⏑⏓
⏑–́ –́⏑⏑⏑ –́⏑⏑⏑ –́⏑– ⏑– –́⏑–⏓
––́⏑– ⏑⏑⏑– ⏑–⏑ –́⏑⏑⏓

Epodi.

––́⏑– –́⏑⏑ –⏑⏓
–́⏑–⏑– ⏑⏑⏑– ⏑– –́⏑–⏓
⏑⏑⏑– –́⏑– ⏑– ⏑⏑⏑– –́⏑⏓
––́⏑– –́⏑⏑⏑ –́⏑⏑⏑ –́⏓
⏑–́ ⏑⏑⏑– ⏑– –́⏑– –
⏑–́⏑– ⏑–⏓

Στροφὴ α′.

Ἀναξιφόρμιγγες ὕμνοι,
τίνα θεόν, τίν᾽ ἥρωα, τίνα δ᾽ ἄνδρα κελαδήσομεν;
ἤτοι Πίσα μὲν Διός· Ὀλυμπιάδα δ᾽ ἔστασεν Ἡρακλέης
ἀκρόθινα πολέμου·
Θήρωνα δὲ τετραορίας ἕνεκα νικαφόρου

γεγωνητέον, ὄπι δίκαιον ξένων, ἔρεισμ᾽ Ἀκράγαντος
εὐωνύμων τε πατέρων ἄωτον ὀρθόπολιν·

Ἀντιστροφὴ α'.

καμόντες οἳ πολλὰ θυμῷ
ἱερὸν ἔσχον οἴκημα ποταμοῦ, Σικελίας τ᾽ ἔσαν
ὀφθαλμός, αἰὼν τ᾽ ἔφεπε μόρσιμος πλοῦτόν τε καὶ χάριν ἄγων
γνησίαις ἐπ᾽ ἀρεταῖς.
ἀλλ᾽, ὦ Κρόνιε παῖ Ῥέας, ἕδος Ὀλύμπου νέμων
ἀέθλων τε κορυφὰν πόρον τ᾽ Ἀλφεοῦ, ἰανθεὶς ἀοιδαῖς
εὔφρων ἄρουραν ἔτι πατρίαν σφίσιν κόμισον

Ἐπῳδὸς α'.

λοιπῷ γένει. τῶν δὲ πεπραγμένων
ἐν δίκᾳ τε καὶ παρὰ-δίκαν ἀποίητον οὐδ᾽-ἂν
χρόνος ὁ πάντων πατὴρ δύναιτο θέμεν ἔργων τέλος·
λάθα δὲ πότμῳ σὺν εὐδαίμονι γένοιτ᾽ ἄν.
ἐσλῶν γὰρ ὑπὸ χαρμάτων πῆμα θνάσκει
παλίγκοτον δαμασθέν,

Στροφὴ β'.

ὅταν θεοῦ μοῖρα πέμπῃ
ἀνεκὰς ὄλβον ὑψηλόν. ἕπεται δὲ λόγος εὐθρόνοις
Κάδμοιο κούραις, ἔπαθον αἳ μεγάλα, πένθος δ᾽ ἐπίτνει βαρὺ
κρεσσόνων πρὸς ἀγαθῶν.
ζώει μὲν ἐν Ὀλυμπίοις ἀποθανοῖσα βρόμῳ
κεραυνοῦ τανυέθειρα Σεμέλα, φιλεῖ δέ μιν Παλλὰς αἰεὶ
καὶ Ζεὺς πάτηρ μάλα, φιλεῖ δὲ παῖς ὁ κισσοφόρος.

Ἀντιστροφὴ β'.

λέγοντι δ᾽ ἐν καὶ θαλάσσᾳ
μετὰ κοραῖσι Νηρῆος ἁλίαις βίοτον ἄφθιτον

Ἰνοῖ τετάχθαι τὸν ὅλον ἀμφὶ χρόνον. ἤτοι βροτῶν γε κέκριται
πεῖρας οὔ τι θανάτου,
οὐδ' ἁσύχιμον ἁμέραν ὁπότε, παῖδ' ἀλίου,
ἀτειρεῖ σὺν ἀγαθῷ τελευτάσομεν· ῥοαὶ δ' ἄλλοτ' ἄλλαι
εὐθυμιᾶν τε μετὰ καὶ πόνων ἐς ἄνδρας ἔβαν.

Ἐπῳδὸς β'.

οὕτω δὲ μοῖρ', ἅ τε πατρώιον
τῶνδ' ἔχει τὸν εὔφρονα πότμον, θεόρτῳ σὺν ὄλβῳ
ἐπί τι καὶ πῆμ' ἄγει παλιντράπελον ἄλλῳ χρόνῳ,
ἐξ οὗπερ ἔκτεινε Λᾷον μόριμος υἱὸς
συναντόμενος, ἐν δὲ Πυθῶνι χρησθὲν
παλαίφατον τέλεσσεν.

Στροφὴ γ'.

ἰδοῖσα δ' ὀξεῖ' Ἐριννὺς
ἔπεφνέ οἱ σὺν ἀλλαλοφονίᾳ γένος Ἀρήιον·
λείφθη δὲ Θέρσανδρος ἐριπέντι Πολυνείκει νέοις ἐν ἀέθλοις
ἐν μάχαις τε πολέμου
τιμώμενος, Ἀδραστιδᾶν θάλος ἀρωγὸν δόμοις,
ὅθεν σπέρματος ἔχοντι ῥίζαν. πρέπει τὸν Αἰνησιδάμου
ἐγκωμίων τε μελέων λυρᾶν τε τυγχανέμεν.

Ἀντιστροφὴ γ'.

Ὀλυμπίᾳ μὲν γὰρ αὐτὸς
γέρας ἔδεκτο, Πυθῶνι δ' ὁμόκλαρον ἐς ἀδελφεὸν
Ἰσθμοῖ τε κοιναὶ Χάριτες ἄνθεα τεθρίππων δυωδεκαδρόμων
ἄγαγον. τὸ δὲ τυχεῖν
πειρώμενον ἀγωνίας παραλύει δυςφρόνων.
ὁ μὰν πλοῦτος ἀρεταῖς δεδαιδαλμένος φέρει τῶν τε καὶ τῶν

καιρόν, βαθεῖαν ὑπέχων μέριμναν ἀγροτέραν,
ἀστὴρ ἀρίζηλος, ἐτήτυμον

Ἐπῳδὸς γ'.

ἀνδρὶ φέγγος· εἰ δέ μιν ἔχων τις, οἶδεν τὸ μέλλον,
ὅτι θανόντων μὲν ἐνθάδ' αὐτίκ' ἀπάλαμνοι φρένες
ποινὰς ἔτισαν, τὰ δ' ἐν τᾷδε Διὸς ἀρχᾷ
ἀλιτρὰ κατὰ γᾶς δικάζει τις ἐχθρᾷ
λόγον φράσαις ἀνάγκᾳ.

Στροφὴ δ'.

ἴσον δὲ νύκτεσσιν αἰεί,
ἴσα δ' ἐν ἁμέραις ἅλιον ἔχοντες ἀπονέστερον
ἐσλοὶ δεδόρκαντι βίον, οὐ χθόνα ταράσσοντες ἐν χερὸς ἀκμᾷ
οὐδὲ πόντιον ὕδωρ
κεινὰν παρὰ δίαιταν· ἀλλὰ παρὰ μὲν τιμίοις
θεῶν, οἵτινες ἔχαιρον εὐορκίαις, ἄδακρυν νέμονται
αἰῶνα· τοὶ δ' ἀπροσόρατον ὀκχέοντι πόνον.

Ἀντιστροφὴ δ'.

ὅσοι δ' ἐτόλμασαν ἐςτρὶς
ἑκατέρωθι μείναντες ἀπὸ πάμπαν ἀδίκων ἔχειν
ψυχάν, ἔτειλαν Διὸς ὁδὸν παρὰ Κρόνου τύρσιν· ἔνθα μακάρων
νᾶσος ὠκεανίδες
αὖραι περιπνέοισιν, ἄνθεμα δὲ χρυσοῦ φλέγει,
τὰ μὲν χερσόθεν ἀπ' ἀγλαῶν δενδρέων, ὕδωρ δ' ἄλλα φέρβει,
ὅρμοισι τῶν χέρας ἀναπλέκοντι καὶ κεφαλὰς
βουλαῖς ἐν ὀρθαῖς Ῥαδαμάνθυος,
ὃν πατὴρ ἔχει Κρόνος ἑτοῖμον αὐτῷ πάρεδρον,
πόσις ὁ πάντων Ῥέας ὑπέρτατον ἐχοίσας θρόνον.

Πηλεύς τε καὶ Κάδμος ἐν τοῖσιν ἀλέγονται,
Ἀχιλλέα τ' ἔνειχ', ἐπεὶ Ζηνὸς ἦτορ
λιταῖς ἔπεισε, μάτηρ,

Στροφὴ ε'.

ὃς Ἕκτορ' ἔσφαλε, Τρῴας
ἄμαχον ἀστραβῆ κίονα Κύκνον τε θανάτῳ πόρεν
Ἀοῦς τε παῖδ' Αἰθίοπα. πολλά μοι ὑπ' ἀγκῶνος
ὠκέα βέλη
ἔνδον ἐντὶ φαρέτρας
φωνᾶντα συνετοῖσιν· ἐς δὲ τὸ πᾶν ἑρμηνέων
χατίζει. σοφὸς ὁ πολλὰ εἰδὼς φυᾷ· μαθόντες δὲ λάβροι
παγγλωσσίᾳ κόρακες ὣς ἄκραντα γαρύετον

Ἀντιστροφὴ ε'.

Διὸς πρὸς ὄρνιχα θεῖον.
ἔπεχε νῦν σκοπῷ τόξον, ἄγε, θυμέ, τίνα βάλλομεν
ἐκ μαλθακᾶς αὖτε φρενὸς εὐκλέας ὀϊστοὺς ἱέντες;
ἐπί τοι
Ἀκράγαντι τανύσαις·
αὐδάσομαι ἐνόρκιον λόγον ἀλαθεῖ νόῳ
τεκεῖν μή τιν' ἑκατόν γε ἐτέων πόλιν φίλοις ἄνδρα
μᾶλλον
εὐεργέταν πραπίσιν ἀφθονέστερόν τε χέρα

Ἐπῳδὸς ε'.

Θήρωνος. ἀλλ' αἶνον ἔβα κόρος
οὐ δίκᾳ συναντόμενος, ἀλλὰ μάργων ὑπ' ἀνδρῶν,
τὸ λαλαγῆσαι ἐθέλων κρύφον τε θέμεν ἐσλῶν καλοῖς
ἔργοις· ἐπεὶ ψάμμος ἀριθμὸν περιπέφευγεν,
ἐκεῖνος ὅσα χάρματ' ἄλλοις ἔθηκεν
τίς ἂν φράσαι δύναιτο;

3.

ΟΛΥΜΠΙΟΝΙΚΗ Ε΄.

Ψαύμιδι Καμαριναίῳ ἀπήνῃ.

Strophæ.

×
– – –́⏑⏑– –́⏑⏑– ⏑– –́⏑–
×
– – –́⏑⏑ –⏑⏑ – –/⏑⏑ – –́⏑–⏑–⏒
⏑⏑–́ ⏑⏑– ⏑– –́⏑– –́⏑– ⏑–⏒

Epodi.

×
– – –́⏑⏑ –⏑⏑ –⏑⏑ –⏑–⏑–⏑–⏒
×
– – –́⏑⏑ –⏑⏑ –⏑⏑– –́⏑– –́⏑– –́⏑– ⏑–⏒

Στροφὴ α΄.

Ὑψηλᾶν ἀρετᾶν καὶ στεφάνων ἄωτον γλυκὺν
τῶν Οὐλυμπίᾳ, Ὠκεανοῦ θύγατερ, καρδίᾳ γελανεῖ
ἀκαμαντόποδός τ᾽ ἀπήνας δέκευ Ψαύμιός τε δῶρα·

Ἀντιστροφὴ α΄.

ὃς τὰν σὰν πόλιν αὔξων, Καμάρινα, λαοτρόφον
βωμοὺς ἓξ διδύμους ἐγέραρεν ἑορταῖς θεῶν μεγίσταις
ὑπὸ βουθυσίαις ἀέθλων τε πεμπταμέροις ἁμίλλαις,

Ἐπῳδὸς α΄.

ἵπποις ἡμιόνοις τε μοναμπυκίᾳ τε. τὶν δὲ κῦδος ἁβρὸν
νικάσαις ἀνέθηκε καὶ ὃν πατέρ᾽ Ἄκρων᾽ ἐκάρυξε καὶ
τὰν νέοικον ἕδραν.

Στροφὴ β΄.

ἵκων δ᾽ Οἰνομάου καὶ Πέλοπος παρ᾽ εὐηράτων
σταθμῶν, ὦ πολιάοχε Παλλάς, ἀείδει μὲν ἄλσος
ἁγνὸν
τὸ τεὸν ποταμόν τε Ὤανιν ἐγχωρίαν τε λίμναν

Ἀντιστροφὴ β΄.

καὶ σεμνοὺς ὀχετούς, Ἵππαρις οἷσιν ἄρδει στρατόν,
κολλᾷ τε σταδίων θαλάμων ταχέως ὑψίγυιον ἄλσος,
ἀπ᾽ ἀμαχανίας ἄγων ἐς φάος τόνδε δᾶμον ἀστῶν·

Ἐπῳδὸς β΄.

αἰεὶ δ᾽ ἀμφ᾽ ἀρεταῖσι πόνος δαπάνα τε μάρναται
πρὸς ἔργον
κινδύνῳ κεκαλυμμένον· ἠῢ δ᾽ ἔχοντες σοφοὶ καὶ πολί-
ταις ἔδοξαν ἔμμεν.

Στροφὴ γ΄.

Σωτὴρ ὑψινεφὲς Ζεῦ, Κρόνιόν τε ναίων λόφον
τιμῶν τ᾽ Ἀλφεὸν εὐρὺ ῥέοντ᾽ Ἰδαῖόν τε σεμνὸν ἄντρον,
ἱκέτας σέθεν ἔρχομαι Λυδίοις ἀπύων ἐν αὐλοῖς,

Ἀντιστροφὴ γ΄.

αἰτήσων πόλιν εὐανορίαισι τάνδε κλυταῖς
δαιδάλλειν, σέ τ᾽, Ὀλυμπιόνικε, Ποσειδανίοισιν ἵπποις
ἐπιτερπόμενον φέρειν γῆρας εὔθυμον ἐς τελευτάν,

Ἐπῳδὸς γ΄.

υἱῶν, Ψαῦμι, παρισταμένων. ὑγιέντα δ᾽ εἴ τις ὄλβον
ἄρδει,
ἐξαρκέων κτεάτεσσι καὶ εὐλογίαν προςτιθείς, μὴ μα-
τεύσῃ θεὸς γενέσθαι.

4.

ΟΛΥΜΠΙΟΝΙΚΗ Γ. (ΙΑ.)

Ἀγησιδάμῳ Λοκρῷ Ἐπιζεφυρίῳ παιδὶ πύκτῃ.

Strophae.

–́⏑ –– –́⏑⏑ –⏑⏑ ––
–́⏑ –– –́⏑⏑ –⏑⏑ –
–́⏑ –– –́⏑⏑ –
–́⏑ –⏑ –́⏑ –– –́⏑⏑ –⏑⏑ –⏒
–́⏑ –– –́⏑–
–́⏑ –– –́⏑ –⏑ –́⏑⏑ –⏑⏑ ⏓

Epodus.

–́⏑⏑ –⏑⏑ –– –́⏑ ––
–́⏑⏑ –⏑⏑ ––
–́⏑– ⏑́⏑ ⏑– – –́⏑⏑ –⏑⏑–
–́⏑ –– –́⏑–⏑ –́⏑–
–́⏑ –– –́⏑–⏑ –́⏑–
–́⏑–⏓ –⏑–
–́⏑⏑ –⏑⏑ –– –́⏑–– –́⏑⏓
–́⏑⏑ –– –́⏑––
⏑–⏑ –́⏑– –́⏑–– –́⏑–⏓

Στροφή.

Εστιν ἀνθρώποις ἀνέμων ὅτε πλεῖσα
χρῆσις, ἔστιν δ᾽ οὐρανίων ὑδάτων
ὀμβρίων, παίδων νεφέλας.
εἰ δὲ σὺν πόνῳ τις εὖ πράσσοι, μελιγάρυες ὕμνοι
ὑστέρων ἀρχαὶ λόγων
τέλλεται καὶ πιστὸν ὅρκιον μεγάλαις ἀρεταῖς.

Ἀντιστροφή.

ἀφθόνητος δ᾽ αἶνος Ὀλυμπιονίκαις
οὗτος ἄγκειται. τὰ μὲν ἁμετέρα
γλῶσσα ποιμαίνειν ἐθέλει·
ἐκ θεοῦ δ᾽ ἀνὴρ σοφαῖς ἀνθεῖ ἐςαεὶ πραπίδεσσιν.
ἴσθι νῦν, Ἀρχεστράτου
παῖ, τεᾶς, Ἀγησίδαμε, πυγμαχίας ἕνεκεν

Ἐπῳδός.

κόσμον ἐπὶ στεφάνῳ χρυσέας ἐλαίας
ἁδυμελῆ κελαδήσω
τῶν Ἐπιζεφυρίων Λοκρῶν γενεὰν ἀλέγων.
ἔνθα συγκωμάξατ᾽, ἐγγυάσομαι

μή μιν, ὦ Μοῖσαι, φυγόξενον στρατὸν
μηδ᾽ ἀπείρατον καλῶν,
ἀκρόσοφον δὲ καὶ αἰχματὰν ἀφίξεσθαι. τὸ γὰρ
ἐμφυὲς οὔτ᾽ αἴθων ἀλώπηξ
οὔτ᾽ ἐρίβρομοι λέοντες διαλλάξαιντο ἦθος.

5.

ΟΛΥΜΠΙΟΝΙΚΗ ΙΔ΄.

Ἀσωπίχῳ Ὀρχομενίῳ παιδὶ σταδιεῖ.

– –́ ⏑ –́ ⏑ ⏑ –
⏑ –́ ⏑ – ⏑ –́ ⏑ ⏑ – ⏑ – ⏑ – –
–́ ⏑ ⏑ – ⏑ – ⏑ –́ ⏑ ⏑ – ⏓
⏑⏑ ⏑ –́ ⏑ ⏑ – ⏑ – ⏑ –́ ⏑ ⏑ – ⏑ – ⏑ –
–́ ⏑ ⏑ – ⏑ – ⏑ – – –́ ⏑ ⏑ – ⏑ –
–́ ⏑ ⏑⏑ –́ ⏑ – –́ ⏑ ⏑ ⏒
–́ ⏑ ⏑ – ⏑ ⏑ – ⏑ –́ ⏑ ⏑ – –
–́ ⏑ – ⏑ ⏓⏓ ⏓ –́ ⏑ ⏑ – ⏑ –
–́ ⏑ ⏑ – –́ ⏑ – –́ ⏑ – ⏑ – ⏑ – –́ ⏑ ⏑ ⏒
– –́ ⏑ – ⏑ – –́ ⏑ – –́ ⏑ ⏑ – ⏑ ⏒
– ⏑ ⏑ ⏑ – – –́ ⏑ –
–́ ⏑ ⏑ – ⏑ – ⏑ –́ ⏑ ⏑ – ⏑ – ⏑ – –

Στροφὴ α΄.

Καφισίων ὑδάτων
λαχοῖσαι αἵτε ναίετε καλλίπωλον ἕδραν,
ὦ λιπαρᾶς ἀοίδιμοι βασίλειαι
Χάριτες Ὀρχομενοῦ, παλαιγόνων Μινυᾶν ἐπίσκοποι,
κλῦτ᾽ ἐπεὶ εὔχομαι. σὺν ὔμμιν γὰρ τά τε τερπνὰ καὶ
τὰ γλυκέα γίγνεται πάντα βροτοῖς,
εἰ σοφός, εἰ καλός, εἴ τις ἀγλαὸς ἀνήρ.
οὔτε γὰρ θεοὶ σεμνᾶν Χαρίτων ἄτερ

κοιρανέοισιν χοροὺς οὔτε δαῖτας, ἀλλὰ πάντων ταμίαι
ἔργων ἐν οὐρανῷ χρυσότοξον θέμεναι παρὰ
Πύθιον Ἀπόλλωνα θρόνους
ἀέναον σέβοντι πατρὸς Ὀλυμπίοιο τιμάν.

Στροφὴ β'.

ὦ πότνι' Ἀγλαΐα
φιλησίμολπε τ' Εὐφροσύνα, θεῶν κρατίστου
παῖδες, ἐπάκοος γένευ, Θαλία τε
ἐρασίμολπε, ἰδοῖσα τόνδε κῶμον ἐπ' εὐμενεῖ τύχᾳ
κοῦφα βιβῶντα· Λυδίῳ δ' Ἀσώπιχον ἐν τρόπῳ
ἔν τε μελέταις ἀείδων ἔμολον,
οὕνεκ' Ὀλυμπιόνικος ἁ Μινυεία
σεῦ ἕκατι. μελανοτειχέα νῦν δόμον
Φερσεφόνας ἐλθέ, Ἀχοῖ, πατρὶ κλυτὰν φέροισ' ἀγγελίαν,
Κλεύδαμον ὄφρ' ἰδοῖσ' υἱὸν εἴπῃς, ὅτι οἱ νέαν
κόλποις παρ' εὐδόξου Πίσας
ἐστεφάνωσε κυδίμων ἀέθλων πτεροῖσι χαίταν.

6.

ΠΥΘΙΟΝΙΚΗ Α'.


Ἱέρωνι Αἰτναίῳ ἅρματι.

Strophæ.

–́⏑–– –́⏑–– –́⏑⏑–⏑⏑ ⏓
–́⏑–– –́⏑⏑– –́⏑–– –́⏑⏑ –⏑⏑– –́⏑
⏓– –́⏑–– –́⏑⏓
– –́⏑⏑ –⏑⏑ –⏑ –́⏑– –́⏑– – –́⏑⏑ –⏑⏑ –
–́⏑–– –́⏑–– –́⏑⏓
–́⏑⏑ –⏑⏑– –́⏑–– –́⏑⏑ –⏑⏑ –– –́⏑⏑ –⏑⏑– –́⏑–⏑

Epodi.

–́⏑⏑ –⏑⏑–– –́⏑–– –́⏑⏓
–́⏑⏑ –⏑⏑ –⏑ –́⏑–– –́⏑⏑ –⏑⏑ ⏓



Στροφὴ α'.

Χρυσέα φόρμιγξ, Ἀπόλλωνος καὶ ἰοπλοκάμων
σύνδικον Μοισᾶν κτέανον· τᾶς ἀκούει μὲν βάσις, ἀγλαΐας ἀρχά,
πείθονται δ' ἀοιδοὶ σάμασιν,
ἁγησιχόρων ὁπόταν προοιμίων ἀμβολὰς τεύχῃς ἐλελιζομένα.
καὶ τὸν αἰχματὰν κεραυνὸν σβεννύεις
ἀενάου πυρός. εὕδει δ' ἀνὰ σκάπτῳ Διὸς αἰετὸς ὠκεῖαν πτέρυγ' ἀμφοτέρωθεν χαλάξαις,

Ἀντιστροφὴ α'.

ἀρχὸς οἰωνῶν, κελαινῶπιν δ' ἐπί οἱ νεφέλαν
ἀγκύλῳ κρατί, γλεφάρων ἁδὺ κλᾷστρον, κατέχευας· ὁ δὲ κνώσσων
ὑγρὸν νῶτον αἰωρεῖ, τεαῖς
ῥιπαῖσι κατασχόμενος. καὶ γὰρ βιατὰς Ἄρης, τραχεῖαν ἄνευθε λιπὼν
ἐγχέων ἀκμάν, ἰαίνει καρδίαν
κώματι, κῆλα δὲ καὶ δαιμόνων θέλγει φρένας, ἀμφί τε Λατοΐδα σοφίᾳ βαθυκόλπων τε Μοισᾶν.

Ἐπῳδὸς α'.

ὅσσα δὲ μὴ πεφίληκε Ζεὺς ἀτύζονται βοὰν
Πιερίδων ἀΐοντα, γᾶν τε καὶ πόντον κατ' ἀμαιμάκετον,
ὅς τ' ἐν αἰνᾷ Ταρτάρῳ κεῖται, θεῶν πολέμιος,

Τυφὼς ἑκατοντακάρανος· τόν ποτε
Κιλίκιον θρέψεν πολυώνυμον ἄντρον· νῦν γε μὰν
ταί θ᾽ ὑπὲρ Κύμας ἁλιερκέες ὄχθαι
Σικελία τ᾽ αὐτοῦ πιέζει στέρνα λαχνάεντα· κίων δ᾽ οὐρανία συνέχει,
νιφόεσσ᾽ Αἴτνα, πάνετες χιόνος ὀξείας τιθήνα.

Στροφὴ β΄.

τᾶς ἐρεύγονται μὲν ἀπλάτου πυρὸς ἁγνόταται
ἐκ μυχῶν παγαί· ποταμοὶ δ᾽ ἁμέραισιν μὲν προχέοντι ῥόον καπνοῦ
αἴθων᾽· ἀλλ᾽ ἐν ὄρφναισιν πέτρας
φοίνισσα κυλινδομένα φλὸξ ἐς βαθεῖαν φέρει πόντου πλάκα σὺν πατάγῳ.
κεῖνο δ᾽ Ἁφαίστοιο κρουνοὺς ἑρπετὸν
δεινοτάτους ἀναπέμπει· τέρας μὲν θαυμάσιον προσιδέσθαι, θαῦμα δὲ καὶ παριόντων ἀκοῦσαι,

Ἀντιστροφὴ β΄.

οἷον Αἴτνας ἐν μελαμφύλλοις δέδεται κορυφαῖς
καὶ πέδῳ, στρωμνὰ δὲ χαράσσοισ᾽ ἅπαν νῶτον ποτικεκλιμένον κεντεῖ.
εἴη, Ζεῦ, τὶν εἴη ἁνδάνειν,
ὃς τοῦτ᾽ ἐφέπεις ὄρος, εὐκάρποιο γαίας μέτωπον, τοῦ μὲν ἐπωνυμίαν
κλεινὸς οἰκιστὴρ ἐκύδανεν πόλιν
γείτονα, Πυθιάδος δ᾽ ἐν δρόμῳ κάρυξ ἀνέειπέ νιν ἀγγέλλων Ἱέρωνος ὑπὲρ καλλινίκου

Ἐπῳδὸς β΄.

ἅρμασι. ναυσιφορήτοις δ᾽ ἀνδράσι πρώτα χάρις
ἐς πλόον ἀρχομένοις πομπαῖον ἐλθεῖν οὖρον· ἐοικότα γὰρ
καὶ τελευτὰν φερτέραν νόστου τυχεῖν. ὁ δὲ λόγος
ταύταις ἐπὶ συντυχίαις δόξαν φέρει

λοιπὸν ἔσσεσθαι στεφάνοισί νιν ἵπποις τε κλυτὰν
καὶ σὺν εὐφώνοις θαλίαις ὀνομαστάν.
Λύκιε καὶ Δάλου ἀνάσσων Φοῖβε Παρνασοῦ τε κρά-
ναν Κασταλίαν φιλέων,
ἐθελήσαις ταῦτα νόῳ τιθέμεν εὔανδρόν τε χώραν.

Στροφὴ γ'.

ἐκ θεῶν γὰρ μαχαναὶ πᾶσαι βροτέαις ἀρεταῖς,
καὶ σοφοὶ καὶ χερσὶ βιαταὶ περίγλωσσοί τ' ἔφυν.
ἄνδρα δ' ἐγὼ κεῖνον
αἰνῆσαι μενοινῶν ἔλπομαι
μὴ χαλκοπάραον ἄκονθ' ὡςείτ' ἀγῶνος βαλεῖν ἔξω
παλάμᾳ δονέων,
μακρὰ δὲ ῥίψαις ἀμεύσασθ' ἀντίους.
εἰ γὰρ ὁ πᾶς χρόνος ὄλβον μὲν οὕτω καὶ κτεάνων δόσιν
εὐθύνοι, καμάτων δ' ἐπίλασιν παράσχοι.

Ἀντιστροφὴ γ'.

ἦ κεν ἀμνάσειεν, οἵαις ἐν μάχαις
τλάμονι ψυχᾷ παρέμειν', ἁνίχ' εὑρίσκοντο θεῶν πα-
λάμαις τιμάν,
οἵαν οὔτις Ἑλλάνων δρέπει,
πλούτου στεφάνωμ' ἀγέρωχον. νῦν γε μὰν τὰν Φιλο-
κτήταο δίκαν ἐφέπων
ἐστρατεύθη· σὺν δ' ἀνάγκᾳ μιν φίλον
καί τις ἐὼν μεγαλάνωρ ἔσανεν. φαντὶ δὲ Λαμνόθεν
ἕλκει τειρόμενον μεταμείβοντας ἐλθεῖν

Ἐπῳδὸς γ'.

ἥρωας ἀντιθέους Ποίαντος υἱὸν τοξόταν,
ὃς Πριάμοιο πόλιν πέρσεν τελεύτασέν τε πόνους
Δαναοῖς·
ἀσθενεῖ μὲν χρωτὶ βαίνων, ἀλλὰ μοιρίδιον ἦν.
οὕτω δ' Ἱέρωνι θεὸς ὀρθωτὴρ πέλοι
τὸν προσέρποντα χρόνον, ὧν ἔραται καιρὸν διδούς.

Μοῖσα, καὶ πὰρ Δεινομένει κελαδῆσαι
πίθεό μοι ποινὰν τεθρίππων. χάρμα δ᾽ οὐκ ἀλλότριον
νικαφορία πατέρος.
ἄγ᾽ ἔπειτ᾽ Αἴτνας βασιλεῖ φίλιον ἐξεύρωμεν ὕμνον,

Στροφὴ δ΄.

τῷ πόλιν κείναν θεοδμάτῳ σὺν ἐλευθερίᾳ
Ὑλλίδος στάθμας Ἱέρων ἐν νόμοις ἔκτισσ᾽. ἐθέλοντι
δὲ Παμφύλου
καὶ μὰν Ἡρακλειδᾶν ἔκγονοι
ὄχθαις ὕπο Ταϋγέτου ναίοντες αἰεὶ μένειν τεθμοῖσιν
ἐν Αἰγιμιοῦ
Δωρίοις. ἔσχον δ᾽ Ἀμύκλας ὄλβιοι
Πινδόθεν ὀρνύμενοι, λευκοπώλων Τυνδαριδᾶν βαθύ-
δοξοι γείτονες, ὧν κλέος ἄνθησεν αἰχμᾶς.

Ἀντιστροφὴ δ΄.

Ζεῦ τέλει᾽, αἰεὶ δὲ τοιαύταν Ἀμένα παρ᾽ ὕδωρ
αἶσαν ἀστοῖς καὶ βασιλεῦσιν διακρίνειν ἔτυμον λόγον
ἀνθρώπων.
σύν τοι τίν κεν ἁγητὴρ ἀνὴρ
υἱῷ τ᾽ ἐπιτελλόμενος, δᾶμον γεραίρων τράποι σύμφω-
νον ἐφ᾽ ἁσυχίαν.
λίσσομαι νεῦσον, Κρονίων, ἅμερον
ὄφρα κατ᾽ οἶκον ὁ Φοίνιξ ὁ Τυρσανῶν τ᾽ ἀλαλατὸς ἔχῃ
ναυσίστονον ὕβριν ἰδὼν τὰν πρὸ Κύμας.

Ἐπῳδὸς δ΄.

οἷα Συρακοσίων ἀρχῷ δαμασθέντες πάθον,
ὠκυπόρων ἀπὸ ναῶν ὅς σφιν ἐν πόντῳ βάλεθ᾽ ἁλικίαν
Ἑλλάδ᾽ ἐξέλκων βαρείας δουλίας. ἀρέομαι
πὰρ μὲν Σαλαμῖνος Ἀθαναίων χάριν
μισθόν, ἐν Σπάρτᾳ δ᾽ ἐρέω πρὸ Κιθαιρῶνος μάχαν,
ταῖσι Μήδειοι κάμον ἀγκυλότοξοι,

παρὰ δὲ τὰν εὔυδρον ἀκτὰν Ἱμέρα παίδεσσιν ὕμνον
Δεινομένευς τελέσαις
τὸν ἐδέξαντ' ἀμφ' ἀρετᾷ πολεμίων ἀνδρῶν καμόντων.

Στροφὴ ε΄.

καιρὸν εἰ φθέγξαιο πολλῶν πείρατα συντανύσαις
ἐν βραχεῖ, μείων ἕπεται μῶμος ἀνθρώπων. ἀπὸ γὰρ
κόρος ἀμβλύνει
αἰανὴς ταχείας ἐλπίδας·
ἀστῶν δ' ἀκοὰ κρύφιον θυμὸν βαρύνει μάλιστ' ἐσλοῖσιν ἐπ' ἀλλοτρίοις.
ἀλλ' ὅμως, κρέσσων γὰρ οἰκτιρμοῦ φθόνος,
μὴ παρίει καλά. νώμα δικαίῳ πηδαλίῳ στρατόν· ἀψευδεῖ δὲ πρὸς ἄκμονι χάλκευε γλῶσσαν.

Ἀντιστροφὴ ε΄.

εἴ τι καὶ φλαῦρον παραιθύσσει, μέγα τοι φέρεται
πὰρ σέθεν. πολλῶν ταμίας ἐσσί· πολλοὶ μάρτυρες
ἀμφοτέροις πιστοί.
εὐανθεῖ δ' ἐν ὀργᾷ παρμένων
εἴπερ τι φιλεῖς ἀκοὰν ἁδεῖαν αἰεὶ κλύειν, μὴ κάμνε
λίαν δαπάναις·
ἐξίει δ' ὥςπερ κυβερνάτας ἀνὴρ
ἱστίον ἀνεμόεν. μὴ δολωθῇς, ὦ φίλος, εὐτραπέλοις
κέρδεσσ'· ὀπιθόμβροτον αὔχημα δόξας

Ἐπῳδὸς ε΄.

οἷον ἀποιχομένων ἀνδρῶν δίαιταν μανύει
καὶ λογίοις καὶ ἀοιδοῖς. οὐ φθίνει Κροίσου φιλόφρων
ἀρετά·
τὸν δὲ ταύρῳ χαλκέῳ καυτῆρα νηλέα νόον
ἐχθρὰ Φάλαριν κατέχει παντᾶ φάτις,
οὐδέ μιν φόρμιγγες ὑπωρόφιαι κοινωνίαν
μαλθακὰν παίδων ὀάροισι δέκονται.

τὸ δὲ παθεῖν εὖ πρῶτον ἄθλων· εὖ δ' ἀκούειν δευ-
τέρα μοῖρ'· ἀμφοτέροισι δ' ἀνὴρ
ὃς ἂν ἐγκύρσῃ καὶ ἕλῃ στέφανον ὕψιστον δέδεκται.

7.

ΠΥΘΙΟΝΙΚΗ ϛ'.

Ξενοκράτει Ἀκραγαντίνῳ ἅρματι.

⏑–́⏑– ⏑⏑⏑ –́⏑⏑ –⏑––
⏑–́ ⏑–́⏑⏑⏒
⏑⏑⏑ –́⏑⏑–⏑ ⏓⏑ –́⏑⏒
⏑⏑–́ –́⏑–⏑ –́⏑⏑⏒
–́⏑⏑–⏑– –́⏑–⏑ –́⏑⏑⏒
⏑⏑⏑ –́⏑⏑–⏑–– ⏑⏑⏑⏒
⏑–́⏑– ⏓
––́ ⏑ –́⏑⏑ –⏓
⏑–́–́⏑–⏑–⏓ –́⏑⏒

Στροφὴ α'.

Ἀκούσατ'· ἦ γὰρ ἑλικώπιδος Ἀφροδίτας
ἄρουραν ἢ Χαρίτων
ἀναπολίζομεν, ὀμφαλὸν ἐριβρόμου
χθονὸς ἀέναον προσοιχόμενοι·
Πυθιόνικος ἔνθ' ὀλβίοισιν Ἐμμενίδαις
ποταμίᾳ τ' Ἀκράγαντι καὶ μὰν Ξενοκράτει
ἑτοῖμος ὕμνων
θησαυρὸς ἐν πολυχρύσῳ
Ἀπολλωνίᾳ τετείχισται νάπᾳ,

Στροφὴ β'.

τὸν οὔτε χειμέριος ὄμβρος ἐπακτὸς ἐλθών,
ἐριβρόμου νεφέλας
στρατὸς ἀμείλιχος, οὔτ' ἄνεμοι ἐς μυχοὺς

ἁλὸς ἄξοσι παμφόρῳ χεράδι
τυπτόμενοι. φάει δὲ πρόσωπον ἐν καθαρῷ
πατρὶ τεῷ, Θρασίβουλε, κοινάν τε γενεᾷ
λόγοισι θνατῶν
εὔδοξον ἅρματι νίκαν
Κρισαίαισιν ἐν πτυχαῖς ἀπαγγελεῖ.

Στροφὴ γ'.

σύ τοι σχέθων νιν ἐπιδέξια χειρὸς ὀρθὰν
ἄγεις ἐφημοσύναν,
τά ποτ' ἐν οὔρεσι φαντὶ μεγαλοσθενεῖ
Φιλύρας υἱὸν ὀρφανιζομένῳ
Πηλεΐδᾳ παραινεῖν· μάλιστα μὲν Κρονίδαν,
βαρυόπαν στεροπᾶν κεραυνῶν τε πρύτανιν,
θεῶν σέβεσθαι·
ταύτας δὲ μή ποτε τιμᾶς
ἀμείρειν γονέων βίον πεπρωμένον.

Στροφὴ δ'.

ἔγεντο καὶ πρότερον Ἀντίλοχος βιατὰς
νόημα τοῦτο φέρων,
ὃς ὑπερέφθιτο πατρός, ἐναρίμβροτον
ἀναμείναις στράταρχον Αἰθιόπων
Μέμνονα. Νεστόρειον γὰρ ἵππος ἅρμ' ἐπέδα
Πάριος ἐκ βελέων δαϊχθείς· ὁ δ' ἔφεπεν
κραταιὸν ἔγχος·
Μεσσανίου δὲ γέροντος
δοναθεῖσα φρὴν βόασε παῖδα ὅν·

Στροφὴ ε'.

χαμαιπετὲς δ' ἄρ' ἔπος οὐκ ἀπέκριψεν· αὐτοῦ
μένων δ' ὁ θεῖος ἀνὴρ
πρίατο μὲν θανάτοιο κομιδὰν πατρός,
ἐδόκησέν τε τῶν πάλαι γενεᾷ
ὁπλοτέροισιν, ἔργον πελώριον τελέσαις,

ὕπατος ἀμφὶ τοκεῦσιν ἔμμεν πρὸς ἀρετάν.
τὰ μὲν παρίκει·
τῶν νῦν δὲ καὶ Θρασύβουλος
πατρῴαν μάλιστα πρὸς στάθμαν ἔβα,

Στροφὴ ϛ'.

πάτρῳ τ' ἐπερχόμενος ἀγλαΐαν ἔδειξεν.
νόῳ δὲ πλοῦτον ἄγει,
ἄδικον οὔθ' ὑπέροπλον ἥβαν δρέπων,
σοφίαν δ' ἐν μυχοῖσι Πιερίδων·
τίν τ', Ἐλέλιχθον, ὀργαῖς ἐς ἱππίαν ἔσοδον
μάλα ἁδόντι νόῳ, Ποσειδᾶν, προσέρχεται.
γλυκεῖα δὲ φρὴν
καὶ συμπόταισιν ὁμιλεῖν
μελισσᾶν ἀμείβεται τρητὸν πόνον.

8.

ΝΕΜΕΟΝΙΚΗ Β'.

Τιμοδήμῳ Ἀθηναίῳ παγκρατιαστῇ.

⏑ –́ –́⏑⏑ –⏑⏓
– –́ ⏑⏑ –⏑ –⏑ –⏓
×– ⏑ –́⏑⏑–⏑ ×– ⏑ –́⏑⏑– –
×⏑⏑⏑ –́⏑⏑–⏑– ×– – –́⏑⏑–⏑– ×– ⏑ –́⏑⏑–⏓
–́⏑⏑– ⏑ –́⏑⏑–⏓

Στροφὴ α'.

Ὅθενπερ καὶ Ὁμηρίδαι
ῥαπτῶν ἐπέων τὰ πόλλ' ἀοιδοὶ
ἄρχονται, Διὸς ἐκ προοιμίου, καὶ ὅδ' ἀνὴρ
καταβολὰν ἱερῶν ἀγώνων νικαφορίας δέδεκται πρώταν Νεμεαίου
ἐν πολυμνήτῳ Διὸς ἄλσει.

Στροφὴ β'.

φείλει δ' ἔτι, πατρίαν
ἵπερ καθ' ὁδόν νιν εὐθυπομπὸς
ἰὼν ταῖς μεγάλαις δέδωκε κόσμον Ἀθάναις,
'αμὰ μὲν Ἰσθμιάδων δρέπεσθαι κάλλιστον ἄωτον, ἐν Πυθίοισί τε νικᾶν
Γιμονόου παῖδ'. ἔστι δ' ἐοικὸς

Στροφὴ γ'.

ρειᾶν γε Πελειάδων
ὴ τηλόθεν Ὠαρίωνα νεῖσθαι.
αὶ μὰν ἁ Σαλαμίς γε θρέψαι φῶτα μαχατὰν
υνατός. ἐν Τρωίᾳ μὲν Ἕκτωρ Αἴαντος ἄκουσεν· ὦ Τιμόδημε, σὲ δ' ἀλκὰ
ταγκρατίου τλάδυμος ἀέξει.

Στροφὴ δ'.

Ἀχάρναι δὲ παλαίφατοι
ὐάνορες· ὅσσα δ' ἀμφ' ἀέθλοις
Τιμοδημίδαι ἐξοχώτατοι προλέγονται.
παρὰ μὲν ὑψιμέδοντι Παρνασῷ τέσσαρας ἐξ ἀέθλων νίκας ἐκόμιξαν·
ἀλλὰ Κορινθίων ὑπὸ φωτῶν

Στροφὴ ε'.

ἐν ἐσλοῦ Πέλοπος πτυχαῖς
ὀκτὼ στεφάνοις ἔμιχθεν ἤδη,
ἑπτὰ δ' ἐν Νεμέᾳ, τὰ δ' οἴκοι μάσσον' ἀριθμοῦ
Διὸς ἀγῶνι. τόν, ὦ πολῖται, κωμάξατε Τιμοδήμῳ σὺν εὐκλεϊ νόστῳ·
ἁδυμελεῖ δ' ἐξάρχετε φωνᾷ.

9.

[ΝΕΜΕΟΝΙΚΗ ΙΑ'.]

Ἀρισταγόρᾳ Τενεδίῳ πρυτάνει.

Strophae.

–́⏑–– –́⏑⏑ –⏑⏑ –⏒ –́⏑⏓
–́⏑–– –́⏑–– –́⏑⏑ –⏑⏑–⏒
–́⏑⏑ –⏑⏑ –– –́⏑⏑ –⏑⏑ –
–́⏑–– –́⏑–– –⏑⏓
–́⏑⏑– –́⏑– –́⏑–– –́⏑⏑⏓

Epodi.

–́⏑⏑ –⏑⏑–– –́⏑⏑ –⏑⏑–
–́⏑–– –́⏑⏑ –⏑⏑ –– –́⏑⏓
–́⏑⏑ –⏑⏑ –– –́⏑⏑ –⏑⏑ –⏒
–́⏑⏑ –⏑⏑ –– –́⏑⏑– –́⏑–
–́⏑–– –́⏑–– –́⏑⏓
–́⏑– –́⏑–– –́⏑⏑ –⏑⏑⏓

Στροφὴ α'.

Παῖ Ῥέας, ἅ τε πρυτανεῖα λέλογχας, Ἑστία,
Ζηνὸς ὑψίστου κασιγνήτα καὶ ὁμοθρόνου Ἥρας,
εὖ μὲν Ἀρισταγόραν δέξαι τεὸν ἐς θάλαμον,
εὖ δ' ἑταίρους ἀγλαῷ σκάπτῳ πέλας,
οἵ σε γεραίροντες ὀρθὰν φυλάσσοισιν Τένεδον,

Ἀντιστροφὴ α'.

πολλὰ μὲν λοιβαῖσιν ἀγαζόμενοι πρώταν θεῶν,
πολλὰ δὲ κνίσσᾳ· λύρα δέ σφι βρέμεται καὶ ἀοιδά·
καὶ ξενίου Διὸς ἀσκεῖται Θέμις ἀενάοις
ἐν τραπέζαις. ἀλλὰ σὺν δόξᾳ τέλος
δωδεκάμηνον περάσαι σὺν ἀτρώτῳ κραδίᾳ.

Ἐπῳδὸς α'.

ἄνδρα δ' ἐγὼ μακαρίζω μὲν πατέρ' Ἀρκεσίλαν
καὶ τὸ θαητὸν δέμας ἀτρεμίαν τε ξύγγονον.
εἰ δέ τις ὄλβον ἔχων μορφὰν παραμεύσεται ἄλλων
ἔν τ' ἀέθλοισιν ἀριστεύων ἐπέδειξεν βίαν,
θνατὰ μεμνάσθω περιστέλλων μέλη
καὶ τελευτὰν ἁπάντων γᾶν ἐπιεσσόμενος,

Στροφὴ β'.

ἐν λόγοις δ' ἀστῶν ἀγαθοῖσί μιν αἰνεῖσθαι χρεὼν
καὶ μελιγδούποισι δαιδαλθέντα μελιζέμεν ἀοιδαῖς.
ἐκ δὲ περικτιόνων ἑκκαίδεκ' Ἀρισταγόραν
ἀγλααὶ νῖκαι πάτραν τ' εὐώνυμον
ἐστεφάνωσαν πάλᾳ καὶ μεγαυχεῖ παγκρατίῳ.

Ἀντιστροφὴ β'.

ἐλπίδες δ' ὀκνηρότεροι γονέων παιδὸς βίαν
ἔσχον ἐν Πυθῶνι πειρᾶσθαι καὶ Ὀλυμπίᾳ ἄθλων.
ναὶ μὰ γὰρ ὅρκον ἐμὰν δόξαν παρὰ Κασταλίᾳ
καὶ παρ' εὐδένδρῳ μολὼν ὄχθῳ Κρόνου
κάλλων ἂν δηριώντων ἐνόστησ' ἀντιπάλων,

Ἐπῳδὸς β'.

πενταετηρίδ' ἑορτὰν Ἡρακλέος τέθμιον
κωμάσαις ἀνδησάμενός τε κόμαν ἐν πορφυρέοις
ἔρνεσιν. ἀλλὰ βροτῶν τὸν μὲν κενεόφρονες αὖχαι
ἐξ ἀγαθῶν ἔβαλον, τὸν δ' αὖ καταμεμφθέντ' ἄγαν
ἰσχὺν οἰκείων παρέσφαλεν καλῶν
χειρὸς ἕλκων ὀπίσσω θυμὸς ἄτολμος ἐών.

Στροφὴ γ'.

συμβαλεῖν μὰν εὐμαρὲς ἦν τό τε Πεισάνδρου πάλαι
αἷμ' ἀπὸ Σπάρτας· Ἀμύκλαθεν γὰρ ἔβα σὺν Ὀρέστᾳ
Αἰολέων στρατιὰν χαλκεντέα δεῦρ' ἀνάγων·

καὶ παρ' Ἰσμηνοῦ ῥοὰν κεκραμένον
ἐκ Μελανίπποιο μάτρωος. ἀρχαῖαι δ' ἀρεταὶ

Ἀντιστροφὴ γ'.

ἀμφέροντ' ἀλλασσόμεναι γενεαῖς ἀνδρῶν σθένος·
ἐν σχερῷ δ' οὔτ' ὦν μέλαιναι καρπὸν ἔδωκαν ἄρουραι,
δένδρεά τ' οὐκ ἐθέλει πάσαις ἐτέων περόδοις
ἄνθος εὐῶδες φέρειν πλούτῳ ἶσον,
ἀλλ' ἐν ἀμείβοντι. καὶ θνατὸν οὕτως ἔθνος ἄγει

Ἐπῳδὸς γ'.

μοῖρα. τὸ δ' ἐκ Διὸς ἀνθρώποις σαφὲς οὐχ ἕπεται
τέκμαρ. ἀλλ' ἔμπαν μεγαλανορίαις ἐμβαίνομεν
ἔργα τε πολλὰ μενοινῶντες· δέδεται γὰρ ἀναιδεῖ
ἐλπίδι γυῖα, προμαθείας δ' ἀπόκεινται ῥοαί.
κερδέων δὲ χρὴ μέτρον θηρευέμεν,
ἀπροσίκτων δ' ἐρώτων ὀξύτεραι μανίαι.

10.

ΙΣΘΜΙΟΝΙΚΗ Β'.

Ξενοκράτει Ἀκραγαντίνῳ ἅρματι.

Strophæ.

– –́⏑⏑–⏑⏑–⏒ –́⏑–– –́⏑⏓
–́⏑–– –́⏑– –́⏑–– –́⏑⏑–⏑⏑ –
–́⏑–– –́⏑–– –́⏑⏑ –⏑⏑ –⏒
–́⏑⏑ –⏑⏑ –⏒ –́⏑–⏒
–́⏑–– –́⏑–– –́⏑–⏒

Epodi.

–́⏑⏑ –⏑⏑ –– –́⏑⏑ –⏑⏑ –⏒ –́⏑⏓
–́⏑⏑ –⏑⏑ ––, –́⏑–⏒
–́⏑–– –́⏑–⏒
–́⏑–⏒ –́⏑–– –́⏑⏑⏓
–́⏑–– –́⏑⏑ –⏑⏑ –
–́⏑ ⏑͡⏑ – –́⏑–́⏒

Στροφὴ α'.

Οἱ μὲν πάλαι, ὦ Θρασύβουλε, φῶτες, οἳ χρυσαμπύκων
ἐς δίφρον Μοισᾶν ἔβαινον κλυτᾷ φόρμιγγι συναντόμενοι,
ῥίμφα παιδείους ἐτόξευον μελιγάρυας ὕμνους,
ὅςτις ἐὼν καλὸς εἶχεν Ἀφροδίτας
εὐθρόνου μνάστειραν ἁδίσταν ὀπώραν.

Ἀντιστροφὴ α'.

ἁ Μοῖσα γὰρ οὐ φιλοκερδής πω τότ' ἦν οὐδ' ἐργάτις,
οὐδ' ἐπέρναντο γλυκεῖαι μελιφθόγγου ποτὶ Τερψιχόρας
ἀργυρωθεῖσαι πρόσωπα μαλθακόφωνοι ἀοιδαί.
νῦν δ' ἐφίητι τὸ τὠργείου φυλάξαι
ῥῆμ' ἀλαθείας ὁδῶν ἄγχιστα βαῖνον·

Ἐπῳδὸς α'.

χρήματα, χρήματ' ἀνήρ, ὃς φᾶ κτεάνων θαμὰ λειφθεὶς καὶ φίλων.
ἐσσὶ γὰρ ὦν σοφός, οὐκ ἀγνῶτ' ἀείδω
Ἰσθμίαν ἵπποισι νίκαν,
τὰν Ξενοκράτει Ποσειδάων ὀπάσαις,
Δωρίων αὐτῷ στεφάνωμα κόμᾳ
πέμπεν ἀναδεῖσθαι σελίνων,

Στροφὴ β'.

εὐάρματον ἄνδρα γεραίρων, Ἀκραγαντίνων φάος.
ἐν Κρίσᾳ δ' εὐρυσθενὴς εἶδ' Ἀπόλλων νιν πόρε τ' ἀγλαΐαν
καὶ τόθι· κλειναῖς δ' Ἐρεχθειδᾶν χαρίτεσσιν ἀραρὼς
ταῖς λιπαραῖς ἐν Ἀθάναις οὐκ ἐμέμφθη
ῥυσίδιφρον χεῖρα πλαξίππου φωτός,

Ἀντιστροφὴ β'.

τὰν Νικόμαχος κατὰ καιρὸν νεῖμ' ἁπάσαις ἀνίαις.
ὄντε καὶ κάρυκες ὡρᾶν ἀνέγνων, σπονδοφόροι Κρονίδα
Ζηνὸς Ἀλεῖοι, παθόντες πού τι φιλόξενον ἔργον·
ἀδυπνόῳ τέ κιν ἀσπάζοντο φωνᾷ
χρυσέας ἐν γούνασιν πιτνόντα Νίκας

Ἐπῳδὸς β'.

γαῖαν ἀνὰ σφετέραν, τὰν δὴ καλέοισιν Ὀλυμπίου Διὸς
ἄλσος, ἵν' ἀθανάτοις Αἰνησιδάμου
παῖδες ἐν τιμαῖς ἔμιχθεν.
καὶ γὰρ οὐκ ἀγνῶτες ὑμῖν ἐντὶ δόμοι
οὔτε κώμων, ὦ Θρασύβουλ', ἐρατῶν
οὔτε μελικόμπων ἀοιδᾶν.

Στροφὴ γ'.

οὐ γὰρ πάγος οὐδὲ προσάντης ἁ κέλευθος γίγνεται,
εἴ τις εὐδόξων ἐς ἀνδρῶν ἄγοι τιμὰς Ἑλικωνιάδων.
μακρὰ δισκήσαις ἀκοντίσσαιμι τοσοῦθ', ὅσον ὀργὰν
Ξενοκράτης ὑπὲρ ἀνθρώπων γλυκεῖαν
ἔσχεν. αἰδοῖος μὲν ἦν ἀστοῖς ὁμιλεῖν,

Ἀντιστροφὴ γ'.

ἱπποτροφίας τε νομίζων ἐν Πανελλάνων νόμῳ,
καὶ θεῶν δαῖτας προσέπτυκτο πάσας, οὐδέ ποτε ξενίαν
οὖρος ἐμπνεύσαις ὑπέστειλ' ἱστίον ἀμφὶ τράπεζαν,
ἀλλ' ἐπέρα ποτὶ μὲν Φᾶσιν θερείαις,
ἐν δὲ χειμῶνι πλέων Νείλου πρὸς ἀκτάς.

Ἐπῳδὸς γ'.

μή νυν, ὅτι φθονεραὶ θνατῶν φρένας ἀμφικρέμανται ἐλπίδες,
μήτ' ἀρετάν ποτε σιγάτω πατρῴαν

μηδὲ τούςδ' ὕμνους, ἐπεί τοι
οὐκ ἐλινύσοντας αὐτοὺς εἰργασάμαν.
ταῦτα, Νικάσιππ', ἀπόνειμον, ὅταν
ξεῖνον ἐμὸν ἠθαῖον ἔλθῃς.

11.

ΕΚ ΘΡΗΝΩΝ.

–́⏑–– –́⏑⏑ –⏑⏑ –– –́⏑⏑ –⏑⏑ –
––́⏑⏑ –⏑⏑ –– –́⏑⏑ –⏑⏑ ––
–́⏑⏑ –⏑⏑ –– –́⏑–– –́⏑––
––́⏑–– –́⏑⏑–⏓ –́⏑––
–́⏑–– –́⏑–– –́⏑⏑ –⏑⏑ –– –́⏑–– –́⏑–⏓
––́⏑⏑ –⏑⏑ –– –́⏑×
––́⏑⏑ –– –́⏑⏑ –⏑⏑ –– –́⏑⏑ –⏑⏑ ––

Τοῖσι λάμπει μὲν μένος ἀελίου τὰν ἐνθάδε νύκτα κάτω,
φοινικορόδοις τ' ἐνὶ λειμώνεσσι προάστιον αὐτῶν
καὶ λιβάνῳ σκιαρᾷ καὶ χρυσέοις καρποῖς βέβριθεν.
καὶ τοὶ μὲν ἵπποις γυμνασίοις τε, τοὶ δὲ πεσσοῖς,
τοὶ δὲ φορμίγγεσσι τέρπονται, παρὰ δέ σφισιν εὐανθὴς ἅπας τέθαλεν ὄλβος·
ὀδμὰ δ' ἐρατὸν κατὰ χῶρον κίδναται
αἰεὶ θύα μιγνύντων πυρὶ τηλεφανεῖ παντοῖα θεῶν ἐπὶ βωμοῖς.

ΒΑΚΧΥΛΙΔΟΥ ΚΕΙΟΥ.

1.

– –́⏑– –́⏑– – –́⏑⏑–
–́– –́⏑⏑ – –́⏑– –
–́⏑⏑ –⏑⏑ –⏑⏑ – –
⏑–́ ⏑– ⏑–́ ⏑–
– –́⏑⏑ –⏑⏑– –́⏑–⏑ – –
–́⏑⏑ –⏑⏑ – – –́⏑– – –⏑–
–́⏑⏑ –⏑⏑ –́⏑– –́⏑– –́⏑–
–́⏑⏑ – –
– ⏑́⏑ ⏑– –́⏑ ⏑⏑– –́⏑⏑ –⏑⏑ – –
×– –́⏑⏑ ×– –́⏑⏑
–́⏑– – –́⏑– – –́⏑⏑ –⏑⏑ –
–́⏑– – –⏑–
–́⏑⏑ –⏑⏑ –⏑–⏑ – –
–́⏑– – –́⏑– –

Τίκτει δέ τε θνατοῖσιν εἰρήνη μεγάλα
πλοῦτον καὶ μελιγλώσσων ἀοιδῶν
ἄνθεα, δαιδαλέων τ᾽ ἐπὶ βωμῶν
θεοῖσιν αἴθεται βοῶν
ξανθᾷ φλογὶ μηρία τῶν εὐτρίχων τε μήλων,
γυμνασίων τε νέοις αὐλῶν τε καὶ κώμων μέλει,
ἐν δὲ σιδαροδέτοισι πόρπαξιν αἰθᾶν ἀραχνᾶν
ἔργα πέλονται,
ἔγχεά τε λογχωτὰ ξίφεά τ᾽ ἀμφάκεα δάμναται εὐρώς,
χαλκέων δ᾽ οὐκέτι σαλπίγγων κτύπος,
οὐδὲ συλᾶται μελίφρων ὕπνος ἀπὸ βλεφάρων,
ἀμὸν ὃς θάλπει κέαρ,
συμποσίων δ᾽ ἐρατῶν βρίθοντ᾽ ἀγυιαί,
παιδικοί θ᾽ ὕμνοι φλέγονται.

2.

–⏑ –́⏑⏑– ⏑–⏑
–⏑ –́⏑⏑– ⏑–
–⏑ –́⏑⏑– ⏑––
⏑⏑⏑ –́⏑⏑– ⏑–
–́⏑⏑– –́⏑⏑– ⏑–
⏑⏑⏑– –́⏑– –́⏑–– –́⏑–
–́⏑⏑ –⏑–⏑–
⏑–́ ⏑⏑– ⏑–

Εἷς ὅρος, μία δὲ βροτοῖσιν
ἔστιν εὐτυχίας ὁδός,
θυμὸν εἴ τις ἔχων ἀπενθῆ·
διατελεῖν δύναται βίον·
οἷς δὲ μέριμν᾿ ἀμφιπολεῖ φρενί,
τὸ δὲ παρ᾿ ἆμάρ τε καὶ νύκτα μελλόντων χάριν
αἰὲν ἰάπτεται κέαρ,
ἄκαρπον ἔχει πόνον.

3.

⏑–́⏑– ––́⏑⏑ –⏑⏑–
––́⏑– ––́⏑–
–́⏑–– –́⏑–
⏓ –́⏑⏑ –⏑⏑– ⏑–́⏑––
–́⏑⏑ –⏑⏑– ⏓–́⏑–⏓
⏓–́⏑⏑–– –́⏑–⏑
–́⏑–– –́⏑–– –́⏑⏓

Στροφή.

Γλυκεῖ᾿ ἀνάγκα σευομένα κυλίκων
θάλπησι θυμὸν Κύπριδος·

ἐλπὶς αἰθύσσει φρένας
ἀμμιγνυμένα Διονυσίοισι δώροις,
ἀνδράσι δ' ὑψοτάτω πέμπει μερίμνας.
αὐτὸς πόλεων κρήδεμνα λύει,
πᾶσι δ' ἀνθρώποις μοναρχήσειν δοκεῖ.

Ἀντιστροφή.

. . . .
. . . .
. . . .

χρυσῷ δ' ἐλέφαντί τε μαρμαίρουσιν οἶκοι,
πυροφόροι δὲ κατ' αἰγλήεντα νῆες
ἄγουσιν ἀπ' Αἰγύπτου μέγιστον
πλοῦτον· ὣς πίνοντος ὁρμαίνει κέαρ.

4.

–́⏑⏑ –⏑⏑ –– –́⏑⏑ –⏑⏑–
–́⏑–– –́⏑–
×
–– –́⏑⏑ –⏑⏑–
– –́⏑⏑ –⏑⏑ –
–́⏑–– –́⏑–

Ὄλβιος ᾧτινι θεὸς μοῖράν τε καλῶν ἔπορεν
σύν τ' ἐπιζήλῳ τύχᾳ
ἀφνειὸν βιοτὰν διάγειν·
οὐ γάρ τις ἐπιχθονίων
πάντα γ' εὐδαίμων ἔφυ.

5.

– –́⏑⏑ –⏑⏑ –– –́⏑⏑ –⏑⏑ –⏑–⏑ –
–́⏑–– –́⏑⏑ –́–⏑⏑–
––́⏑–– –́⏑–
–́⏑–– –́⏑⏑ –́⏑⏑–
–́⏑⏑ –⏑⏑ –́––́⏑⏑ –⏑⏑ –
–́⏑–– –́⏑–– –́⏑––

Ὦ Τρῶες Ἀρηΐφιλοι, Ζεὺς ὑψιμέδων, ὃς ἅπαντα δέρκεται,
οὐκ αἴτιος θνατοῖς μεγάλων ἀχέων,
ἀλλ' ἐν μέσῳ κεῖται κιχεῖν
πᾶσιν ἀνθρώποισι Δίκαν ὁσίαν,
Εὐνομίας ἀκόλουθον, καὶ πινυτᾶς Θέμιδος
ὀλβίων παῖδές νιν εὑρόντες σύνοικον.

ΑΡΙΣΤΟΤΕΛΟΥΣ ΣΤΑΓΕΙΡΙΤΟΥ.

⏑⏑–́ ⏑⏑– ⏑⏑–́ ⏑––
––́⏑– ––́⏑–
–́⏑⏑ –⏑⏑ ––
–́⏑ –– –́⏑⏑ –⏑⏑ –⏑
–́⏑–– –́⏑⏑ –⏑⏑–́⏑
–́⏑⏑ –⏑⏑ ––
–̽⏑ –́⏑⏑ –– –́⏑––
–̽⏑ –́⏑⏑ –– –́⏑––
–́⏑⏑ –⏑⏑ × –⏑⏑ –– –́⏑––
–́⏑– –́⏑––
–́– –– –́⏑⏑⏓
–́⏑⏑ –́⏑ ––
– –́⏑⏑ –⏑⏑ –
–̽– –́⏑⏑ –⏑⏑ –
– –́⏑⏑ –⏑⏑ –⏑⏑ –⏑⏑ –– –́⏑––
–́⏑⏑ –⏑⏑ ––
–́⏑⏑ –⏑⏑ –– –́⏑––
–́⏑⏑ –⏑⏑–
⏑ –́⏑⏑ –⏑⏑ –– –́⏑⏑ –⏑⏑ –⏑––

Ἀρετὰ πολύμοχθε γένει βροτείῳ,
θήραμα κάλλιστον βίῳ,

ἦ γὰρ ἐκ πάντων σὺ μόνα κρατίστους
ἄνδρας αἰχματὰς μεγάλους λοχεύεις,
εὔσταχυν Δάματρος ὅπως ἀνεῖσα
καρπὸν ἀπ᾽ ἀνδρῶν.

ΜΕΣΟΜΗΔΟΥΣ ΚΡΗΤΟΣ.

Νέμεσι πτερόεσσα, βίου ῥοπά,
κυανῶπι θεά, θύγατερ Δίκας,
ἃ κοῦφα φρυάγματα θνατῶν
ἐπέχεις ἀδάμαντι χαλινῷ,
ἔχθουσά θ᾽ ὕβριν ὀλοὰν βροτῶν
μέλανα φθόνον ἐκτὸς ἐλαύνεις.

Ὑπὸ σὸν τρόχον ἄστατον, ἀστιβῆ
χαροπὰ μερόπων στρέφεται τύχα,
λήθουσα δὲ πὰρ πόδα βαίνεις,
γαυρούμενον αὐχένα κλίνεις·
ὑπὸ πῆχυν ἀεὶ βίοτον μετρεῖς
ζυγίον μετὰ χεῖρα κρατοῦσα.

Ἵλαθι, μάκαιρα δικασπόλε,
Νέμεσι πτερόεσσα, βίου ῥοπά.
[Νέμεσιν θεὸν ᾄδομεν ἀφθίταν,
νημερτέα, καὶ πάρεδρον Δίκαν,
σὲ Δίκαν τανυσίπτερον ὀμβρίμαν,
ἃ τὰν μεγαλανορίαν βροτῶν
νεμεσῶσ᾽ ἐφέπεις καὶ Ταρτάρου.]

ΔΙΟΝΥΣΙΟΥ.

Εὐφημείτω πᾶς αἰθήρ,
οὔρεα, τέμπεα σιγάτω,
γῆ καὶ πόντος καὶ πνοιαί,
ἦχοι φθόγγοι τ' ὀρνίθων·
μέλλει δὲ πρὸς ἡμᾶς βαίνειν
Φοῖβος ἀκερσεκόμας, ἀχέτας.
χιονοβλεφάρου πάτερ Ἀοῦς,
ῥοδόεσσαν ὃς ἄντυγα πώλων
πτανοῖς ὑπ' ἴχνεσσι διώκεις,
χρυσέαισιν ἀγαλλόμενος κόμαις,
περὶ νῶτον ἀπείριτον οὐρανοῦ·
ἀκτῖνα πολύστροφον ἀμπλέκων,
αἴγλας πολυκερδέα παγὰν
περὶ γαῖαν ἅπασαν ἑλίσσων.
ποταμοὶ δὲ σέθεν πυρὸς ἀμβρότου
τίκτουσιν ἐπήρατον ἁμέραν.
σοὶ μὲν χορὸς εὔδιος ἀστέρων
κατ' Ὄλυμπον ἄνακτι χορεύει
ἄνετον μέλος αἰὲν ἀείδων,
Φοιβηΐδι τερπόμενος λύρᾳ.
γλαυκὰ δὲ πάροιθε Σελάνα
χορὸν ὥριον ἁγεμονεύει
λευκῶν ὑπὸ σύρμασι μόσχων·
γάνυται δέ τέ οἱ νόος εὐμενὴς
πολυείμονα κόσμον ἑλίσσων.

ΣΚΟΛΙΑ.

1.

ΠΙΤΤΑΚΟΥ ΜΥΤΙΛΗΝΑΙΟΥ.

⏑–́⏑– –́⏑⏑ –⏑⏑ –́⏑⏑ –
– –́⏑⏑ –⏑⏑ –
–́–⏑– – –́⏑⏑ –́⏑⏑–
⏑–́⏑⏑ –⏑⏑ –⏑
⏑⏑–́ ⏑–⏑

Ἔχοντα δεῖ τόξα καὶ ἰοδόκον φαρέτρην
στείχειν ποτὶ φῶτα κακόν·
πιστὸν γὰρ οὐδὲν γλῶσσα διὰ στόματος
λαλεῖ διχόμυθον ἔχουσα
κραδίῃ νόημα.

2.

ΒΙΑΝΤΟΣ ΠΡΙΗΝΕΩΣ.

– –́⏑⏑ –́⏑–⏑
–́⏑⏑ –⏑⏑ –
– –́⏑⏑ –⏑–
×–– –́⏑⏑ –
×–⏑ –́⏑⏑–
–́⏑ –⏑– –

Ἀστοῖσιν ἄρεσκε πᾶσιν,
ἐν πόλει αἴκε μένῃς·
πλεῖσταν γὰρ ἔχει χάριν.
αὐθάδης δὲ τρόπος
πολλάκι βλαβερὰν
ἐξέλαμψεν ἄταν.

3.

ΣΟΛΩΝΟΣ ΑΘΗΝΑΙΟΥ.

⏑⏑–́ ⏑⏑– ⏑⏑–́ ⏑⏑–
⏑⏑–́ ⏑⏑– ⏑⏑–́ ⏑⏑–
––́ ⏑– ⏑–́ ⏑– –
–́⏑⏑ –⏑⏑ –⏑
–́⏑⏑ –⏑ –⏑ ––

Πεφυλαγμένος ἄνδρα ἕκαστον ὅρα
μὴ κρυπτὸν ἔχων ἔγχος κραδίῃ
φαιδρῷ προσεννέπῃ προσώπῳ,
γλῶσσα δέ οἱ διχόμυθος
ἐκ μελανῆς φρενὸς γεγωνῇ.

4.

ΣΙΜΩΝΙΔΟΥ ΚΕΙΟΥ.

⏑⏑– –́⏑⏑ –⏑–⏑ –⏓
–⏑ –́⏑⏑ –⏑–⏑–⏓
⏑⏑–́ ⏑– –́⏑⏑–
–́⏑⏑–⏑– –́⏑⏑ –⏑–

Ὑγιαίνειν μὲν ἄριστον ἀνδρὶ θνατῷ,
δεύτερον δὲ καλὸν φυὰν γενέσθαι,
τὸ τρίτον δὲ πλουτεῖν ἀδόλως,
καὶ τὸ τέταρτον ἡβᾶν μετὰ τῶν φίλων.

5.

ΤΙΜΟΚΡΕΟΝΤΟΣ ΡΟΔΙΟΥ.

V. 1—5. –́⏑–⏓ –́⏑–⏓
V. 6. –́⏑–⏓ –́⏑⏓

Ὤφελέν σ', ὦ τυφλὲ Πλοῦτε,
μήτε γῇ μήτ' ἐν θαλάττῃ
μήτ' ἐν ἠπείρῳ φανῆναι,
ἀλλὰ Τάρταρόν τε ναίειν
κ' Ἀχέροντα· διά σε γὰρ πάντ'
ἔστ' ἐν ἀνθρώποις κακά.

6.

ΚΑΛΛΙΣΤΡΑΤΟΥ.

(*Metrum i. q. 4.*)

Ἐν μύρτου κλαδὶ τὸ ξίφος φορήσω,
ὥςπερ Ἁρμόδιος κ' Ἀριστογείτων,
ὅτε τὸν τύραννον κτανέτην
ἰσονόμους τ' Ἀθήνας ἐποιησάτην.

Φίλταθ' Ἁρμόδι', οὔ τι που τέθνηκας,
νήσοις δ' ἐν μακάρων σέ φασιν εἶναι,
ἵνα περ ποδώκης Ἀχιλεύς,
Τυδεΐδην τέ φασιν Διομήδεα.

Ἐν μύρτου κλαδὶ τὸ ξίφος φορήσω,
ὥςπερ Ἁρμόδιος κ' Ἀριστογείτων,
ὅτ' Ἀθηναίης ἐν θυσίαις
ἄνδρα τύραννον Ἵππαρχον ἐκαινέτην.

Αἰεὶ σφῷν κλέος ἔσσεται κατ' αἶαν,
φίλταθ' Ἁρμόδιος κ' Ἀριστογείτων,
ὅτι τὸν τύραννον κτανέτην
ἰσονόμους τ' Ἀθήνας ἐποιησάτην.

7.

ΥΒΡΙΟΥ ΚΡΗΤΟΣ.

–́⏑–⏓ –⏑ –́⏑⏑ –⏑–
–́⏑⏑ –– –́⏑–⏓ –́⏑–⏓
––́⏑⏑–– –́⏑––
⏒ –́⏑⏑ –⏑ –⏑–⏑
––́⏑– ⏒–́⏑–

Ἔστι μοι πλοῦτος μέγας δόρυ καὶ ξίφος
καὶ τὸ καλὸν λαισήιον, πρόβλημα χρωτός.
τούτῳ γὰρ ἀρῶ, τούτῳ θερίζω,
τούτῳ πατέω τὸν ἁδὺν οἶνον,
τούτῳ κέκλημαι δεσπότας.

Τοὶ δὲ μὴ τολμῶντ᾽ ἔχειν δόρυ καὶ ξίφος
καὶ τὸ καλὸν λαισήιον, πρόβλημα χρωτὸς
πάντες γόνυ πεπτηῶτες ἀμὸν
μέγαν βασιλῆα φωνέοντι
καὶ προςκυνεῦντι δεσπόταν.

ΑΔΕΣΠΟΤΑ.

(*Metrum i. q.* 4.)

8.

Παλλὰς Τριτογένει᾽, ἄνασσ᾽ Ἀθηνᾶ,
ὄρθου τήνδε πόλιν τε καὶ πολίτας,
ἄτερ ἀλγέων καὶ στάσεων
καὶ θανάτων ἀώρων, σύ τε καὶ πατήρ.

9.

Πλούτου μητέρ' Ὀλυμπίαν ἀείδω
Δήμητρα στεφανηφόροις ἐν ὥραις,
σέ τε παῖ Διὸς Περσεφόνη,
χαίρετον, εὖ δὲ τάνδ' ἀμφέπετον πόλιν.

10.

Ἐν Δήλῳ ποτ' ἔτικτε τέκνα Λατώ,
Φοῖβον χρυσοκόμαν, ἄνακτ' Ἀπόλλων'
ἐλαφηβόλον τ' ἀγροτέραν
Ἄρτεμιν, ἃ γυναικῶν μέγ' ἔχει κράτος.

11.

Ὦ Πάν, Ἀρκαδίας μέδων κλεεννᾶς,
ὀρχηστὰ Βρομίαις ὀπαδὲ Νύμφαις,
γελάσειας, ὦ Πάν, ἐπ' ἐμαῖς
εὐφροσύναις ἀοιδαῖς κεχαρημένος.

12.

Εἴθ' ἐξῆν ὁποῖός τις ἦν ἕκαστος
τὸ στῆθος διελόντ', ἔπειτα τὸν νοῦν
ἐσιδόντα, κλείσαντα πάλιν,
ἄνδρα φίλον νομίζειν ἀδόλῳ φρενί.

13.

V. 1 & 3. ⏒⏑⏑ –⏑–⏑– ⏒⏑⏑ –⏑⏓

V. 2 & 4. ⏒⏑⏑ –⏑–⏑– ⏒⏑⏑ –⏑⏑ –⏑⏑

Εἴθε λύρα καλὴ γενοίμην ἐλεφαντίνη
καί με καλοὶ παῖδες φέροιεν Διονύσιον ἐς χορόν.
εἴθ' ἄπυρον καλὸν γενοίμην μέγα χρυσίον
καί με καλὴ γυνὴ φοροίη καθαρὸν θεμένη νόον.

14.

Παῖ Τελαμῶνος, Αἶαν αἰχμητά, λέγουσί σε
ἐς Τροΐαν ἄριστον ἐλθεῖν Δαναῶν μετ' Ἀχιλλέα.
τὸν Τελαμῶνα πρῶτον, Αἴαντα δὲ δεύτερον
ἐς Τροΐαν λέγουσιν ἐλθεῖν Δαναῶν μετ' Ἀχιλλέα.

15.

×– –́⏑⏑– –́⏑⏑– –́⏑⏑– ⏑–

Ἀδμήτου λόγον, ὦταῖρε, μαθὼν τοὺς ἀγαθοὺς φίλει,
τῶν δειλῶν δ' ἀπέχου, γνοὺς ὅτι δειλοῖς ὀλίγη χάρις.

16.

Σύν μοι πῖνε, συνήβα, συνέρα, συστεφανηφόρει,
σύν μοι μαινομένῳ μαίνεο, σὺν σώφρονι σωφρόνει.

17.

Ὑπὸ παντὶ λίθῳ σκορπίος, ὦταῖρ', ὑποδύεται·
φράζευ μή σε βάλῃ· τῷ δ' ἀφανεῖ πᾶς ἕπεται δόλος.

18.

Ἁ ὗς τὰν βάλανον τὰν μὲν ἔχει, τὰν δ' ἔραται λαβεῖν·
κἀγὼ παῖδα καλὴν τὰν μὲν ἔχω, τὰν δ' ἔραμαι λαβεῖν.

ΧΕΛΙΔΟΝΙΣΜΑ.

Ἦλθ᾽ ἦλθε χελιδών,
καλὰς ὥρας ἄγουσα,
καλοὺς ἐνιαυτούς,
ἐπὶ γαστέρα λευκά,
ἐπὶ νῶτα μέλαινα.
παλάθαν οὐ προκυκλεῖς
ἐκ πίονος οἴκου
οἴνου τε δέπαστρον
τυροῦ τε κάνιστρον
καὶ πυρῶν;
ἁ χελιδὼν καὶ λεκιθίταν
οὐκ ἀποθεῖται. πότερ᾽ ἀπίωμες ἢ λαβώμεθα;
εἰ μέν τι δώσεις· εἰ δὲ μή, οὐκ ἐάσομες,
ἢ τὰν θύραν φέρωμες ἢ θὐπέρθυρον
ἢ τὰν γυναῖκα τὰν ἔσω καθημέναν·
μικρὰ μέν ἐστι, μέγα δή τι καὶ φέροις.
ἄνοιγ᾽ ἄνοιγε τὰν θύραν χελιδόνι·
οὐ γὰρ γέροντές ἐσμεν ἀλλὰ παιδία.

ΕΙΔΥΛΛΙΑ.

ἀλλά, τὺ γὰρ δή, Θύρσι, τὰ Δάφνιδος ἄλγεα εἶδες
καὶ τᾶς βωκολικᾶς ἐπὶ τὸ πλέον ἵκεο μώσας,
δεῦρ᾽ ὑπὸ τὰν πτελέαν ἑσδώμεθα τῶ τε Πριήπω
καὶ τᾶν Κρανιάδων κατεναντίον, ᾇπερ ὁ θῶκος
τῆνος ὁ ποιμενικὸς καὶ ταὶ δρύες. αἰ δέ κ᾽ ἀείσῃς
ὡς ὄκα τὸν Λιβύαθε ποτὶ Χρόμιν ᾇσας ἐρίσδων,
αἶγά τέ τοι δωσῶ διδυματόκον ἐς τρὶς ἀμέλξαι,
α δύ᾽ ἔχοισ᾽ ἐρίφως ποταμέλξεται ἐς δύο πέλλας,
καὶ βαθὺ κισσύβιον κεκλυσμένον ἁδέϊ καρῷ,
ἀμφῶες, νεοτευχές, ἔτι γλυφάνοιο ποτόσδον,
τῶ περὶ μὲν χείλη μαρύεται ὑψόθι κισσός,
κισσὸς ἑλιχρύσῳ κεκονιμένος· ἁ δὲ κατ᾽ αὐτὸν
καρπῷ ἕλιξ εἱλεῖται ἀγαλλομένα κροκόεντι.
ἔντοσθεν δὲ γυνά τι θεῶν δαίδαλμα τέτυκται,
ἀσκητὰ πέπλῳ τε καὶ ἄμπυκι. πὰρ δέ οἱ ἄνδρες
καλὸν ἐθειράζοντες ἀμοιβαδὶς ἄλλοθεν ἄλλος
νεικείουσ᾽ ἐπέεσσι· τὰ δ᾽ οὐ φρενὸς ἅπτεταί αὐτᾶς·
ἀλλ᾽ ὁκὰ μὲν τῆνον ποτιδέρκεται ἄνδρα γελεῦσα,
ἄλλοκα δ᾽ αὖ ποτὶ τὸν ῥιπτεῖ νόον. οἱ δ᾽ ὑπ᾽ ἔρωτος
δηθὰ κυλοιδιόωντες ἐτώσια μοχθίζοντι.
τοῖς δὲ μέτα γριπεύς τε γέρων πέτρα τε τέτυκται
λεπράς, ἐφ᾽ ᾇ σπεύδων μέγα δίκτυον ἐς βόλον ἕλκει
ὁ πρέσβυς κάμνοντι τὸ καρτερὸν ἀνδρὶ ἐοικώς.
φαίης κεν γυίων νιν ὅσον σθένος ἐλλοπιεύειν·
ὧδέ οἱ ᾠδήκαντι κατ᾽ αὐχένα πάντοθεν ἶνες
καὶ πολιῷ περ ἐόντι, τὸ δὲ σθένος ἄξιον ἅβας.
τυτθὸν δ᾽ ὅσσον ἄπωθεν ἁλιτρύτοιο γέροντος
πυρναίαις σταφυλαῖσι καλὸν βέβριθεν ἀλωά,
τὰν ὀλίγος τις κῶρος ἐφ᾽ αἱμασιαῖσι φυλάσσει
ἥμενος· ἀμφὶ δέ μιν δύ᾽ ἀλώπεκες, ἃ μὲν ἀν᾽ ὄρχως
φοιτῇ σινομένα τὰν τρώξιμον, ἃ δ᾽ ἐπὶ πήραν
πάντα δόλον τεύχοισα τὸ παιδίον οὐ πρὶν ἀνήσειν
φατὶ πρὶν ἢ ἀκράτιστον ἐπὶ ξηροῖσι καθίξῃ.
αὐτὰρ ὅγ᾽ ἀνθερίκεσσι καλὰν πλέκει ἀκριδοθήκαν

σχοίνῳ ἐφαρμόσδων· μέλεται δέ οἱ οὔτέ τι πήρας
οὔτε φυτῶν τοσσῆνον ὅσον περὶ πλέγματι γαθεῖ.
παντᾷ δ' ἀμφὶ δέπας περιπέπταται ὑγρὸς ἄκανθος·
Αἰολικόν τι θάημα· τέρας κέ τυ θυμὸν ἀτύξαι.
τῷ μὲν ἐγὼ πορθμεῖ Καλυδωνίῳ αἶγά τ' ἔδωκα
ὦνον καὶ τυρόεντα μέγαν λευκοῖο γάλακτος·
οὐδέ τί πα ποτὶ χεῖλος ἐμὸν θίγεν, ἀλλ' ἔτι κεῖται
ἄχραντον. τῷ κέν τυ μάλα πρόφρων ἀρεσαίμαν,
αἴκα μοι τὺ φίλος τὸν ἐφίμερον ὕμνον ἀείσῃς.
κοὔ τοι κερτομέω. πόταγ', ὠγαθέ· τὰν γὰρ ἀοιδὰν
οὔτί πα εἰς Ἀΐδαν γε τὸν ἐκλελάθοντα φυλαξεῖς.

ΘΥΡΣΙΣ.

Ἄρχετε βωκολικᾶς, Μῶσαι φίλαι, ἄρχετ' ἀοιδᾶς.
Θύρσις ὅδ' ὡξ Αἴτνας, καὶ Θύρσιδος ἅδε γε φωνά.
πᾷ ποκ' ἄρ' ἦθ' ὅκα Δάφνις ἐτάκετο, πᾷ ποκα, Νύμφαι;
ἢ κατὰ Πηνειῶ καλὰ τέμπεα, ἢ κατὰ Πίνδω;
οὐ γὰρ δὴ ποταμῷ γε μέγαν ῥόον εἶχετ' Ἀνάπω,
οὐδ' Αἴτνας σκοπιάν, οὐδ' Ἄκιδος ἱερὸν ὕδωρ.
Ἄρχετε βωκολικᾶς, Μῶσαι φίλαι, ἄρχετ' ἀοιδᾶς.
τῆνον μὰν θῶες, τῆνον λύκοι ὠρύσαντο,
τῆνον χὡκ δρυμοῖο λέων ἔκλαυσε θανόντα.
ἄρχετε βωκολικᾶς, Μῶσαι φίλαι, ἄρχετ' ἀοιδᾶς.
πολλαί οἱ πὰρ ποσσὶ βόες, πολλοὶ δέ τε ταῦροι,
πολλαὶ δ' αὖ δαμάλαι καὶ πόρτιες ὠδύραντο.
ἄρχετε βωκολικᾶς, Μῶσαι φίλαι, ἄρχετ' ἀοιδᾶς.
ἦνθ' Ἑρμᾶς πράτιστος ἀπ' ὤρεος εἶπε δέ· Δάφνι,
τίς τυ κατατρύχει; τίνος, ὠγαθέ, τόσσον ἔρασσαι;
Ἄρχετε βωκολικᾶς, Μῶσαι φίλαι, ἄρχετ' ἀοιδᾶς.
ἦνθον τοὶ βῶται, τοὶ ποιμένες, ᾡπόλοι ἦνθον.
πάντες ἀνηρώτευν τί πάθοι κακόν. ἦνθ' ὁ Πρίηπος
κῆφα· Δάφνι τάλαν, τί τὺ τάκεαι; ἁ δέ τε κώρα
πάσας ἀνὰ κράνας, πάντ' ἄλσεα ποσσὶ φορεῖται.

ἄρχετε βωκολικᾶς, Μῶσαι φίλαι, ἄρχετ' ἀοιδᾶς.
ζατεῦσαι δύςερώς τις ἄγαν καὶ ἀμάχανός ἐσσί.
βώτας μὰν ἐλέγευ, νῦν δ' αἰπόλῳ ἀνδρὶ ἔοικας.
ᾠπόλος ὅκκ' ἐςορῇ τὰς μηκάδας οἷα βατεῦνται
τάκεται ὀφθαλμὼς ὅτι οὐ τράγος αὐτὸς ἔγεντο.
ἄρχετε βωκολικᾶς, Μῶσαι φίλαι, ἄρχετ' ἀοιδᾶς.
καὶ τὺ δ' ἐπεί κ' ἐςορῇς τὰς παρθένος οἷα γελεῦντι
τάκεαι ὀφθαλμὼς ὅτι οὐ μετὰ ταῖσι χορεύεις.
τὼς δ' οὐδὲν ποτελέξαθ' ὁ βωκόλος, ἀλλὰ τὸν αὐτῶ
ἄνυε πικρὸν ἔρωτα καὶ ἐς τέλος ἄνυε μοίρας.
ἄρχετε βωκολικᾶς, Μῶσαι φίλαι, ἄρχετ' ἀοιδᾶς.
ἦνθε γε μὰν ἁδεῖα καὶ ἁ Κύπρις γελάοισα,
λάθρια μὲν γελάοισα, βαρὺν δ' ἀνὰ θυμὸν ἔχοισα,
κἦπε· τύ θην τὸν Ἔρωτα κατεύχεο, Δάφνι, λυγιξεῖν·
ἦ ῥ' οὐκ αὐτὸς Ἔρωτος ὑπ' ἀργαλέω ἐλυγίχθης;
ἄρχετε βωκολικᾶς, Μῶσαι φίλαι, ἄρχετ' ἀοιδᾶς.
τὰν δ' ἄρα χὠ Δάφνις ποταμείβετο· Κύπρι βαρεῖα,
Κύπρι νεμεσσατά, Κύπρι θνατοῖσιν ἀπεχθής,
ἤδη γὰρ φράσδῃ πάνθ' ἅλιον ἄμμι δεδύκειν;
Δάφνις κἠν Ἀΐδᾳ κακὸν ἔσσεται ἄλγος Ἔρωτι.
Ἄρχετε βωκολικᾶς, Μῶσαι φίλαι, ἄρχετ' ἀοιδᾶς.
οὐ λέγεται τὰν Κύπριν ὁ βωκόλος, ἕρπε ποτ' Ἴδαν,
ἕρπε ποτ' Ἀγχίσαν. τηνεῖ δρύες, ὧδε κύπειρος.
ἄρχετε βωκολικᾶς, Μῶσαι φίλαι, ἄρχετ' ἀοιδας.
ὡραῖος χὤδωνις, ἐπεὶ καὶ μαλᾶ νομεύει
καὶ πτῶκας βάλλει καὶ θηρία πάντα διώκει.
ἄρχετε βωκολικᾶς, Μῶσαι φίλαι, ἄρχετ' ἀοιδᾶς.
αὖτις ὅπως στασῇ Διομήδεος ἆσσον ἰοῖσα,
καὶ λέγε· τὸν βώταν νικῶ Δάφνιν, ἀλλὰ μάχευ μοι.
Ἄρχετε βωκολικᾶς, Μῶσαι φίλαι, ἄρχετ' ἀοιδᾶς.
ὦ λύκοι, ὦ θῶες, ὦ ἀν' ὤρεα φωλάδες ἄρκτοι,
χαίρεθ'. ὁ βωκόλος ὔμμιν ἐγὼ Δάφνις οὐκ ἔτ' ἀν' ὕλαν,
οὐκ ἔτ' ἀνὰ δρυμώς, οὐκ ἄλσεα. χαῖρ', Ἀρέθοισα,
καὶ ποταμοὶ τοὶ χεῖτε καλὸν κατὰ Θύμβριδος ὕδωρ.

ἄρχετε βωκολικᾶς, Μῶσαι φίλαι, ἄρχετ' ἀοιδᾶς.
. . . .
. . . . *)
Δάφνις ἐγὼν ὅδε τῆνος ὁ τὰς βόας ὧδε νομεύων,
Δάφνις ὁ τὼς ταύρως καὶ πόρτιας ὧδε ποτίσδων.
ἄρχετε βωκολικᾶς, Μῶσαι φίλαι, ἄρχετ' ἀοιδᾶς.
ὦ Πάν, Πάν, εἴτ' ἐσσὶ κατ' ὤρεα μακρὰ Λυκαίω,
εἴτε τύ γ' ἀμφιπολεῖς μέγα Μαίναλον, ἔνθ' ἐπὶ νᾶσον
τὰν Σικελάν, Ἑλίκα δὲ λίπ' ἠρίον αἰπύ τε σᾶμα
τῆνο Λυκαονίδαο, τὸ καὶ μακάρεσσιν ἀγαστόν.
λήγετε βωκολικᾶς, Μῶσαι, ἴτε λήγετ' ἀοιδᾶς.
ἔνθ' ὦναξ καὶ τάνδε φέρ' εὐπάκτοιο μελίπνουν
ἐκ καρῶ σύριγγα καλὰν περὶ χεῖλος ἑλικτάν·
ἦ γὰρ ἐγὼν ὑπ' ἔρωτος ἐς Ἅϊδος ἕλκομαι ἤδη.
νῦν δ' ἴα μὲν φορέοιτε, βάτοι, φορέοιτε δ', ἄκανθαι.
λήγετε βωκολικᾶς, Μῶσαι, ἴτε λήγετ' ἀοιδᾶς.
ἁ δὲ καλὰ νάρκισσος ἐπ' ἀρκεύθοισι κομάσαι·
πάντα δ' ἔναλλα γένοιτο, καὶ ἁ πίτυς ὄχνας ἐνείκαι,
Δάφνις ἐπεὶ θνάσκει· καὶ τὼς κύνας ὥλαφος ἕλκοι,
κἠξ ὀρέων τοὶ σκῶπες ἀηδόσι γαρύσαιντο.
λήγετε βωκολικᾶς, Μῶσαι, ἴτε λήγετ' ἀοιδᾶς.
χὼ μὲν τόσσ' εἰπὼν ἀπεπαύσατο· τὸν δ' Ἀφροδίτα
ἤθελ' ἀνορθῶσαι· τά γε μὰν λίνα πάντα λελοίπει
ἐκ Μοιρᾶν, χὠ Δάφνις ἔβα ῥόον. ἔκλυσε δίνα
τὸν Μώσαις φίλον ἄνδρα, τὸν οὐ Νύμφαισιν ἀπεχθῆ.
λήγετε βωκολικᾶς, Μῶσαι, ἴτε λήγετ' ἀοιδᾶς.

*) Virgilius Eclog. 5, 40 sqq.
Spargite humum foliis, inducite fontibus umbras,
pastores, mandat fieri sibi talia Daphnis,
et tumulum facite et tumulo superaddite carmen:
Daphnis ego in silvis, hinc usque ad sidera notus,
formosi pecoris custos, formosior ipse.
Cf. G. Hermanni. in Zimmermanni diario philolog. a. 1838. p. 227.

Καὶ τὺ δίδου τὰν αἶγα τό τε σκύφος, ὥς κεν ἀμέλξας
σπείσω ταῖς Μοίσαις. ὦ χαίρετε πολλάκι, Μοῖσαι,
χαίρετ'. ἐγὼ δ' ὔμμιν καὶ ἐς ὕστερον ἅδιον ᾀσῶ.

ΑΙΠΟΛΟΣ.

Πλῆρές τοι μέλιτος τὸ καλὸν στόμα, Θύρσι, γένοιτο,
πλῆρές τοι σχαδόνων, καὶ ἀπ' Αἰγίλω ἰσχάδα τρώγοις
ἁδεῖαν, τέττιγος ἐπεὶ τύ γα φέρτερον ᾄδεις.
ἠνίδε τοι τὸ δέπας· θᾶσαι φίλος ὡς καλὸν ὄσδει·
Ὡρᾶν πεπλύνθαι νιν ἐπὶ κράναισι δοκασεῖς.
ὧδ' ἴθι, Κισσαίθα, τὺ δ' ἄμελγέ νιν· αἱ δὲ χίμαιραι
οὐ μὴ σκιρτάσητε, μὴ ὁ τράγος ὔμμιν ἀναστῇ.

2.

ΕΙΔΥΛΛΙΟΝ Γ.

Κωμάσδω ποτὶ τὰν Ἀμαρυλλίδα, ταὶ δέ μοι αἶγες
βόσκονται κατ' ὄρος, καὶ ὁ Τίτυρος αὐτὰς ἐλαύνει.
Τίτυρ' ἐμὶν τὸ καλὸν πεφιλαμένε, βόσκε τὰς αἶγας
καὶ ποτὶ τὰν κράναν ἄγε, Τίτυρε, καὶ τὸν ἐνόρχαν
τὸν Λιβυκὸν κνάκωνα φυλάσσεο μή τυ κορύψῃ.
Ὦ χαρίεσσ' Ἀμαρυλλί, τί μ' οὐκ ἔτι τοῦτο κατ' ἄντρον
παρκύπτοισα καλεῖς τὸν ἐρωτύλον; ἦ ῥά με μισεῖς;
ἦ ῥά γέ τοι σιμὸς καταφαίνομαι ἐγγύθεν ἦμες,
νύμφα, καὶ προγένειος; ἀπάγξασθαί με ποιησεῖς.
ἠνίδε τοι δέκα μᾶλα φέρω· τηνῶθε καθεῖλον
ὦ μ' ἐκέλευ καθελεῖν τύ· καὶ αὔριον ἄλλα τοι οἰσῶ.
Θᾶσαι μὰν θυμαλγὲς ἐμὶν ἄχος. αἴθε γενοίμαν
ἁ βομβεῦσα μέλισσα καὶ ἐς τεὸν ἄντρον ἱκοίμαν
τὸν κισσὸν διαδὺς καὶ τὰν πτέριν ᾇ τὺ πυκάσδῃ.
νῦν ἔγνων τὸν Ἔρωτα· βαρὺς θεός· ἦ ῥα λεαίνας
μασδὸν ἐθήλασδε, δρυμῷ τέ μιν ἔτραφε μάτηρ,
ὅς με κατασμύχων καὶ ἐς ὀστέον ἄχρις ἰάπτει.
ὦ τὸ καλὸν ποθορεῦσα, τὸ πᾶν λίθος· ὦ κυάνοφρυ
νύμφα, πρόσπτυξαί με τὸν αἰπόλον ὥς τυ φιλάσω.
ἔστι καὶ ἐν κενεοῖσι φιλάμασιν ἁδέα τέρψις.

τὸν στέφανον τῖλαί με καταυτίκα λεπτὰ ποιησεῖς,
τόν τοι ἐγών, Ἀμαρυλλὶ φίλα, κισσοῖο φυλάσσω
ἐμπλέξας καλύκεσσι καὶ εὐόδμοισι σελίνοις. —
Ὤ μοι ἐγὼ τί πάθω; τί ὁ δύσσοος; οὐχ ὑπακούεις; —
Τὰν βαίταν ἀποδὺς ἐς κύματα τῆνα ἁλεῦμαι,
ὧπερ τὼς θύννως σκοπιάζεται Ὄλπις ὁ γριπεύς·
καἴκα δὴ 'ποθάνω, τό γε μάν τε ἁδὺ τέτυκται.
ἔγνων πρὰν ὅκα μευ μεμναμένω εἰ φιλέεις με
οὐδὲ τὸ τηλέφιλον ποτιμαξάμενον πλατάγησεν,
ἀλλ' αὔτως ἁπαλῶ ποτὶ πάχεος ἐξεμαράνθη.
εἶπε καὶ Ἀγροιὼ τἀλαθέα κοσκινόμαντις,
ἁ πρὰν ποιολογεῦσα παραιβάτις, οὕνεκ' ἐγὼ μὲν
τὶν ὅλος ἔγκειμαι, τὺ δέ μευ λόγον οὐδένα ποιῇ.
ἦ μάν τοι λεύκαν διδυματόκον αἶγα φυλάσσω,
τάν με καὶ ἁ Μέρμνωνος ἐριθακὶς ἁ μελανόχρως
αἰτεῖ, καὶ δωσῶ οἱ, ἐπεὶ τύ μοι ἐνδιαθρύπτῃ.
ἅλλεται ὀφθαλμός μευ ὁ δεξιός· ἆρά γ' ἰδησῶ
αὐτάν; ᾀσεῦμαι ποτὶ τὰν πίτυν ὧδ' ἀποκλινθείς,
καί κέ μ' ἴσως ποτίδοι, ἐπεὶ οὐκ ἀδαμαντίνα ἐντί.
Ἱππομένης, ὅκα δὴ τὰν παρθένον ἤθελε γᾶμαι,
μᾶλ' ἐν χερσὶν ἑλὼν δρόμον ἄνυεν· ἁ δ' Ἀταλάντα
ὡς ἴδεν, ὡς ἐμάνη, ὡς ἐς βαθὺν ἅλετ' ἔρωτα.
τὰν ἀγέλαν χὠ μάντις ἀπ' Ὄθρυος ἆγε Μελάμπους
ἐς Πύλον· ἁ δὲ Βίαντος ἐν ἀγκοίνῃσιν ἐκλίνθη,
μάτηρ ἁ χαρίεσσα περίφρονος Ἀλφεσιβοίας.
τὰν δὲ καλὰν Κυθέρειαν ἐν ὤρεσι μᾶλα νομεύων
οὐχ οὕτως ὥδωνις ἐπὶ πλέον ἄγαγε λύσσας,
ὥστ' οὐδὲ φθίμενόν νιν ἄτερ παστοῖο τίθητι;
ζαλωτὸς μὲν ἐμὶν ὁ τὸν ἄτροπον ὕπνον ἰαύων
Ἐνδυμίων, ζαλῶ δέ, φίλα γύναι, Ἰασίωνα,
ὃς τοσσῆν' ἐκύρησεν ὅσ' οὐ πευσεῖσθε βέβαλοι.
ἀλγέω τὰν κεφαλάν, τὶν δ' οὐ μέλει. οὐκ ἔτ' ἀείδω,
κεισεῦμαι δὲ πεσών, καὶ τοὶ λύκοι ὧδέ μ' ἔδονται.
ὡς μέλι τοι γλυκὺ τοῦτο κατὰ βρόχθοιο γένοιτο.

3.

ΕΙΔΥΛΛΙΟΝ Δ.

ΒΑΤΤΟΣ.

Εἰπέ μοι, ὦ Κορύδων, τίνος αἱ βόες; ἦ ῥα Φιλώνδα;

ΚΟΡΥΔΩΝ.

οὔκ, ἀλλ' Αἴγωνος· βόσκεν δέ μοι αὐτὰς ἔδωκεν.

ΒΑΤΤΟΣ.

ἦ πά ψε κρύβδαν τὰ ποθέσπερα πάσας ἀμέλγες;

ΚΟΡΥΔΩΝ.

ἀλλ' ὁ γέρων ὑφίησι τὰ μοσχία κἠμὲ φυλάσσει.

ΒΑΤΤΟΣ.

αὐτὸς δ' ἐς τίν' ἄφαντος ὁ βωκόλος ᾤχετο χώραν;

ΚΟΡΥΔΩΝ.

οὐκ ἄκουσας; ἄγων νιν ἐπ' Ἀλφεὸν ᾤχετο Μίλων.

ΒΑΤΤΟΣ.

καὶ πόκα τῆνος ἔλαιον ἐν ὀφθαλμοῖσιν ὀπώπη;

ΚΟΡΥΔΩΝ.

φαντί νιν Ἡρακλῆι βίην καὶ κάρτος ἐρίσδεν.

ΒΑΤΤΟΣ.

κἠμ' ἔφαθ' ἁ μάτηρ Πολυδεύκεος εἶμεν ἀμείνω.

ΚΟΡΥΔΩΝ.

κῷχετ' ἔχων σκαπάναν τε καὶ εἴκατι τουτόθε μᾶλα.

ΒΑΤΤΟΣ.

πείσαι τοι Μίλων καὶ τὼς λύκος αὐτίκα λυσσῆν.

ΚΟΡΥΔΩΝ.

ταὶ δαμάλαι δ' αὐτὸν μυκώμεναι αἵδε ποθεῦντι.

ΒΑΤΤΟΣ.

δειλαῖαί γ' αὖται, τὸν βωκόλον ὡς κακὸν εὗρον.

ΚΟΡΥΔΩΝ.

ἦ μὰν δειλαῖαί γε, καὶ οὐκ ἔτι λῶντι νέμεσθαι.

ΒΑΤΤΟΣ.

τήνας μὲν δή τοι τᾶς πόρτιος αὐτὰ λέλειπται
τὠσιτέα, μὴ πρώκας σιτίζεται ὥσπερ ὁ τέττιξ;

ΚΟΡΥΔΩΝ.

οὐ δᾶν, ἀλλ' ὁκὰ μέν νιν ἐπ' Αἰσάροιο νομεύω
καὶ μαλακῶ χόρτοιο καλὰν κώμυθα δίδωμι,
ἄλλοκα δὲ σκαίρει τὸ βαθύσκιον ἀμφὶ Λάτυμνον.

ΒΑΤΤΟΣ.

λεπτὸς μὰν χὠ ταῦρος ὁ πυρρίχος. αἴθε λάχοιεν
τοὶ τῶ Λαμπριάδα τοὶ δαμόται, ὅκκα θύωντι
τᾷ Ἥρᾳ, τοιόνδε· κακοφράσμων γὰρ ὁ δᾶμος.

ΚΟΡΥΔΩΝ.

καὶ μὰν ἐς στομάλιμνον ἐλαύνεται ἔς τε τὰ Φύσκω,
καὶ ποτὶ τὸν Νήαιθον, ὅπᾳ καλὰ πάντα φύοντι,
αἰγίπυρος καὶ κνύζα καὶ εὐώδης μελίτεια.

ΒΑΤΤΟΣ.

φεῦ, φεῦ, βασεῦνται καὶ ταὶ βόες, ὦ τάλαν Αἴγων,
εἰς Ἀΐδαν, ὅκα καὶ τὺ κακᾶς ἠράσσαο νίκας,
χὰ σῦριγξ εὐρῶτι παλύνεται, ἅν ποκ' ἐπάξα.

ΚΟΡΥΔΩΝ.

οὐ τήνα γ' οὐ Νύμφας, ἐπεὶ ποτὶ Πῖσαν ἀφέρπων
δῶρον ἐμὶν νιν ἔλειπεν· ἐγὼ δέ τις εἰμὶ μελικτάς,
κηὖ μὲν τὰ Γλαύκας ἀγκρούομαι, εὖ δὲ τὰ Πύρρω.
αἰνέω τάν τε Κρότωνα· καλὰ πόλις ἅ τε Ζάκυνθος
καὶ τὸ ποταῷον τὸ Λακίνιον, ᾇπερ ὁ πύκτας
Αἴγων ὀγδώκοντα μόνος κατεδαίσατο μάσδας.
τηνεῖ καὶ τὸν ταῦρον ἀπ' ὤρεος ἆγε πιάξας
τᾶς ὁπλᾶς κἤδωκ' Ἀμαρυλλίδι, ταὶ δὲ γυναῖκες
μακρὸν ἀνάϋσαν, χὠ βωκόλος ἐξεγέλαξεν.

ΒΑΤΤΟΣ.

ὦ χαρίεσσ' Ἀμαρυλλί, μόνας σέθεν οὐδὲ θανοίσας
λασεύμεσθ'· ὅσον αἶγες ἐμὶν φίλαι, ὅσσον ἀπέσβας.
αἰαῖ τῶ σκληρῶ μάλα δαίμονος ὅς με λελόγχη.

ΚΟΡΥΔΩΝ.

θαρσῆν χρή, φίλε Βάττε· τάχ' αὔριον ἔσσετ' ἄμεινον.
ἐλπίδες ἐν ζωοῖσιν, ἀνέλπιστοι δὲ θανόντες.
χὠ Ζεὺς ἄλλοκα μὲν πέλει αἴθριος, ἄλλοκα δ' ὕει.

ΒΑΤΤΟΣ.

θαρσέω. βάλλε κάτωθε τὰ μοσχία· τᾶς γὰρ ἐλαίας
τὸν θαλλὸν τρώγοντι τὰ δύσσοα. σίτθ' ὁ Λέπαργος.

ΚΟΡΥΔΩΝ.

σίτθ' ἁ Κυμαίθα ποτὶ τὸν λόφον· οὐκ ἐσακούεις;
ἡξῶ ναὶ τὸν Πᾶνα κακὸν τέλος αὐτίκα δωσῶν,
εἰ μὴ ἄπει τουτῶθεν. ἴδ' αὖ πάλιν ἅδε ποθέρπει.
αἴθ' ἦς μοι ῥοικὸν τὸ λαγωβόλον, ὥς τυ πατάξω.

ΒΑΤΤΟΣ.

θᾶσαί μ', ὦ Κορύδων, ποτὶ τῶ Διός· ἁ γὰρ ἄκανθα
ἁρμοῖ μ' ὧδ' ἐπάταξ' ὑπὸ τὸ σφυρόν. ὡς δὲ βαθεῖαι
τἀτρακτυλλίδες ἐντί. κακῶς ἁ πόρτις ὄλοιτο·
ἐς ταύταν ἐτύπαν χασμεύμενος. ἦ ῥά γε λεύσσεις;

ΚΟΡΥΔΩΝ.

ναὶ ναί, τοῖς ὀνύχεσσιν ἔχω τέ νιν· ἅδε καὶ αὐτά.

ΒΑΤΤΟΣ.

ὁσσιχόν ἐστι τὸ τύμμα καὶ ἁλίκον ἄνδρα δαμάσδει.

ΚΟΡΥΔΩΝ.

εἰς ὄρος ὄκχ' ἕρπῃς, μὴ ἀνάλιπος ἔρχεο, Βάττε·
ἐν γὰρ ὄρει ῥάμνοι τε καὶ ἀσπάλαθοι κομόωντι.

4.

ΕΙΔΥΛΛΙΟΝ ς΄.

Δαμοίτας καὶ Δάφνις ὁ βωκόλος εἰς ἕνα χῶρον
τὰν ἀγέλαν ποκ᾽, Ἄρατε, συνάγαγον· ἦς δ᾽ ὁ μὲν αὐτῶν
πυῤῥὸς, ὁ δ᾽ ἡμιγένειος· ἐπὶ κράναν δέ τιν᾽ ἄμφω
ἑσδόμενοι θέρεος μέσῳ ἄματι τοιάδ᾽ ἄειδον.
πρᾶτος δ᾽ ἄρξατο Δάφνις, ἐπεὶ καὶ πρᾶτος ἔρισδεν.
Βάλλει τοι, Πολύφαμε, τὸ ποίμνιον ἁ Γαλάτεια
μάλοισιν, δυσέρωτα τὸν αἰπόλον ἄνδρα καλεῦσα·
καὶ τύ νιν οὐ ποθόρησθα, τάλαν, τάλαν, ἀλλὰ κάθησαι
ἁδέα συρίσδων. πάλιν ἅδ᾽ ἴδε τὰν κύνα βάλλει,
ἅ τοι τᾶν ὀΐων ἕπεται σκοπός· ἁ δὲ βαΰσδει
εἰς ἅλα δερκομένα, τὰ δέ νιν καλὰ κύματα φαίνει
ἅσυχα καχλάζοντος ἐπ᾽ αἰγιαλοῖο θέοισαν.
φράσδεο μὴ τᾶς παιδὸς ἐπὶ κνάμῃσιν ὀρούσῃ
ἐξ ἁλὸς ἐρχομένας, κατὰ δὲ χρόα καλὸν ἀμύξῃ.
ἁ δὲ καὶ αὐτόθε τοι διαθρύπτεται, ὡς ἀπ᾽ ἀκάνθας
ταὶ καπυραὶ χαῖται, τὸ καλὸν θέρος ἁνίκα φρύγῃ·
καὶ φεύγει φιλέοντα καὶ οὐ φιλέοντα διώκει,
καὶ τὸν ἀπὸ γραμμᾶς κινεῖ λίθον· ἦ γὰρ ἔρωτι
πολλάκις, ὦ Πολύφαμε, τὰ μὴ καλὰ καλὰ πέφανται.

Τῷ δ᾽ ἔπι Δαμοίτας ἀνεβάλλετο καλὸν ἀεῖδεν.

Εἶδον ναὶ τὸν Πᾶνα τὸ ποίμνιον ἁνίκ᾽ ἔβαλλεν,
κοῦ μ᾽ ἔλαθ᾽ οὐ τὸν ἐμὸν τὸν ἕνα γλυκὺν ᾧ ποθόρημι
ἐς τέλος· αὐτὰρ ὁ μάντις ὁ Τήλεμος ἔχθρ᾽ ἀγορεύων
ἐχθρὰ φέροιτο ποτ᾽ οἶκον, ὅπως τεκέεσσι φυλάξῃ.
ἀλλὰ καὶ αὐτὸς ἐγὼ κνίσδων πάλιν οὐ ποθόρημι,
ἀλλ᾽ ἄλλαν τινὰ φαμὶ γυναῖκ᾽ ἔχεν· ἁ δ᾽ ἀΐοισα
ζαλοῖ μ᾽, ὦ Παιάν, καὶ τάκεται, ἐκ δὲ θαλάσσας
οἰστρῇ παπταίνοισα ποτ᾽ ἄντρα τε καὶ ποτὶ ποίμνας.
σίγα δ᾽ ὑλακτεῖν νιν καὶ τᾷ κυνί· καὶ γὰρ ὅκ᾽ ἤρων
αὐτᾶς, ἐκνυζᾶτο ποτ᾽ ἰσχία ῥύγχος ἔχοισα.

ταῦτα δ' ἴσως ἐσορεῦσα ποιεῦντά με πολλάκι πεμψεῖ
ἄγγελον. αὐτὰρ ἐγὼ κλᾳξῶ θύρας, ἔστε κ' ὀμόσσῃ
αὐτά μοι στορέσειν καλὰ δέμνια τᾶσδ' ἐπὶ νάσω.
καὶ γάρ θην οὐδ' εἶδος ἔχω κακόν, ὥς με λέγοντι.
ἦ γὰρ πρᾶν ἐς πόντον ἐσέβλεπον, ἦς δὲ γαλάνα,
καὶ καλὰ μὲν τὰ γένεια, καλὰ δέ μοι ἁ μία κώρα,
ὡς παρ' ἐμὶν κέκριται, κατεφαίνετο, τῶν δέ τ' ὀδόντων
λευκοτέραν αὐγὰν Παρίας ὑπέφαινε λίθοιο.
ὡς μὴ βασκανθῶ δὲ τρὶς εἰς ἐμὸν ἔπτυσα κόλπον·
ταῦτα γὰρ ἁ γραία με Κοτυτταρὶς ἐξεδίδαξεν.
Τόσσ' εἰπὼν τὸν Δάφνιν ὁ Δαμοίτας ἐφίλασεν,
χὠ μὲν τῷ σύριγγ', ὁ δὲ τῷ καλὸν αὐλὸν ἔδωκεν.
αὔλει Δαμοίτας, σύρισδε δὲ Δάφνις ὁ βώτας·
ὠρχεῦντ' ἐν μαλακᾷ ταὶ πόρτιες αὐτίκα ποίᾳ.
νίκη μὰν οὐδάλλος, ἀνάσσατοι δ' ἐγένοντο.

5.

ΕΙΔΥΛΛΙΟΝ Ζ.

Ἦς χρόνος ἁνίκ' ἐγών τε καὶ Εὔκριτος ἐς τὸν Ἄλεντα
εἵρπομες ἐκ πόλιος σὺν καὶ τρίτος ἁμὶν Ἀμύντας·
τᾷ Δηοῖ γὰρ ἔτευχε θαλύσια καὶ Φρασίδαμος
κἀντιγένης, δύο τέκνα Λυκώπεος, εἴ τί περ ἐσθλὸν
χαῶν τῶν ἐπάνωθεν, ἀπὸ Κλυτίας τε καὶ αὐτῶ
Χάλκωνος, Βούριναν ὃς ἐκ ποδὸς ἄνυσε κράναν
εὖ γ' ἐνερεισάμενος πέτρᾳ γόνυ· ταὶ δὲ παρ' αὐτὰν
αἴγειροι πτελέαι τε ἐΰσκιον ἄλσος ὕφαινον,
χλωροῖσιν πετάλοισι κατηρεφέες κομόωσαι.
κοὔπω τὰν μεσάταν ὁδὸν ἄνυμες, οὐδὲ τὸ σᾶμα
ἁμῖν τὸ Βρασίλα κατεφαίνετο, καί τιν' ὁδίταν
ἐσθλὸν σὺν Μοίσαισι Κυδωνικὸν εὕρομες ἄνδρα,
οὔνομα μὲν Λυκίδαν, ἦς δ' αἰπόλος, οὐδέ κέ τίς μιν
ἠγνοίησεν ἰδών, ἐπεὶ αἰπόλῳ ἔξοχ' ἐῴκει·
ἐκ μὲν γὰρ λασίοιο δασύτριχος εἶχε τράγοιο

κνακὸν δέρμ' ὤμοισι νέας ταμίσοιο ποτόσδον,
ἀμφὶ δέ οἱ στήθεσσι γέρων ἐσφίγγετο πέπλος
ζωστῆρι πλακερῷ, ῥοικὰν δ' ἔχεν ἀγριελαίω
δεξιτερᾷ κορύναν. καί μ' ἀτρέμας εἶπε σεσαρὼς
ὄμματι μειδιόωντι, γέλως δέ οἱ εἴχετο χείλευς·
Σιμιχίδα, πᾷ δὴ τὺ μεσαμέριον πόδας ἕλκεις,
ἁνίκα δὴ καὶ σαῦρος ἐν αἱμασιαῖσι καθεύδει,
οὐδ' ἐπιτυμβίδιαι κορυδαλλίδες ἠλαίνοντι;
ἦ μετὰ δαῖτα κλητὸς ἐπείγεαι; ἤ τινος ἀστῶν
λανὸν ἐπιθρώσκεις; ὥς τευ ποσὶ νισσομένοιο
πᾶσα λίθος πταίοισα ποτ' ἀρβυλίδεσσιν ἀείδει.
τὸν δ' ἐγὼ ἀμείφθην· Λυκίδα φίλε, φαντί τυ πάντες
συρικτὰν ἔμεναι μέγ' ὑπείροχον ἔν τε νομεῦσιν
ἔν τ' ἀμητήρεσσι. τὸ δὴ μάλα θυμὸν ἰαίνει
ἁμέτερον· καίτοι κατ' ἐμὸν νόον ἰσοφαρίσδεν
ἔλπομαι. ἁ δ' ὁδὸς ἅδε θαλυσιάς· ἦ γὰρ ἑταῖροι
ἀνέρες εὐπέπλῳ Δαμάτερι δαῖτα τελεῦντι
ὄλβω ἀπαρχόμενοι· μάλα γάρ σφισι πίονι μέτρῳ
ἁ δαίμων εὔκριθον ἀνεπλήρωσεν ἀλωάν.
ἀλλ' ἄγε δή, ξυνὰ γὰρ ὁδός, ξυνὰ δὲ καὶ ἀώς,
βουκολιασδώμεσθα· τάχ' ὥτερος ἄλλον ὀνασεῖ.
καὶ γὰρ ἐγὼ Μοισᾶν καπυρὸν στόμα, κἠμὲ λέγοντι
πάντες ἀοιδὸν ἄριστον· ἐγὼ δέ τις οὐ ταχυπειθής,
οὐ Δᾶν· οὐ γάρ πω κατ' ἐμὸν νόον οὔτε τὸν ἐσθλὸν
Σικελίδαν νίκημι τὸν ἐκ Σάμω οὔτε Φιλητᾶν
ἀείδων, βάτραχος δὲ ποτ' ἀκρίδας ὥς τις ἐρίσδω.
ὣς ἐφάμαν ἐπίταδες· ὁ δ' αἰπόλος ἁδὺ γελάξας,
τάν τοι, ἔφα, κορύναν δωρύττομαι, οὕνεκεν ἐσσὶ
πᾶν ἐπ' ἀλαθείᾳ πεπλασμένον ἐκ Διὸς ἔρνος.
ὥς μοι καὶ τέκτων μέγ' ἀπέχθεται ὅστις ἐρευνῇ
ἶσον ὄρευς κορυφᾷ τελέσαι δόμον Εὐρυμέδοντος,
καὶ Μοισᾶν ὄρνιχες ὅσοι ποτὶ Χῖον ἀοιδὸν
ἀντία κοκκύζοντες ἐτώσια μοχθίζοντι.
ἀλλ' ἄγε βουκολικᾶς ταχέως ἀρχώμεθ' ἀοιδᾶς,

Σιμιχίδα, κἠγὼ μέν, ὅρη, φίλος εἴ τοι ἀρέσκει
τοῦθ᾽ ὅ τι πρὰν ἐν ὄρει τὸ μελύδριον ἐξεπόνασα.
Ἔσσεται Ἀγεάνακτι καλὸς πλόος ἐς Μυτιλάναν,
χὤταν ἐφ᾽ ἑσπερίοις ἐρίφοις νότος ὑγρὰ διώκῃ
κύματα, χὠρίων ὅτ᾽ ἐπ᾽ Ὠκεανῷ πόδας ἴσχει,
αἴκεν τὸν Λυκίδαν ὀπτεύμενον ἐξ Ἀφροδίτας
ῥύηται· θερμὸς γὰρ ἔρως αὐτῷ με καταίθει.
χἀλκυόνες στορεσεῦντι τὰ κύματα τάν τε θάλασσαν,
τόν τε νότον τόν τ᾽ εὖρον, ὃς ἔσχατα φυκία κινεῖ·
ἀλκυόνες, γλαυκαῖς Νηρηίσι ταίτε μάλιστα
ὀρνίχων ἐφίλαθεν, ὅσαις τέ περ ἐξ ἁλὸς ἄγρα.
Ἀγεάνακτι πλόον διζημένῳ ἐς Μυτιλάναν
ὥρια πάντα γένοιτο, καὶ εὔπλοον ὅρμον ἵκοιτο.
κἠγὼ τῆνο κατ᾽ ἆμαρ ἀνήθινον ἢ ῥοδόεντα
ἢ καὶ λευκοΐων στέφανον περὶ κρατὶ φυλάσσων
τὸν Πτελεατικὸν οἶνον ἀπὸ κρατῆρος ἀφυξῶ
πὰρ πυρὶ κεκλιμένος, κύαμον δέ τις ἐν πυρὶ φρυξεῖ·
χἀ στιβὰς ἐσσεῖται πεπυκασμένα ἔστ᾽ ἐπὶ πᾶχυν
κνύζᾳ τ᾽ ἀσφοδέλῳ τε πολυγνάμπτῳ τε σελίνῳ.
καὶ πίομαι μαλακῶς μεμναμένος Ἀγεάνακτος
αὐταῖσιν κυλίκεσσι καὶ ἐς τρύγα χεῖλος ἐρείδων.
αὐλησεῦντι δέ μοι δύο ποιμένες, εἷς μὲν Ἀχαρνεύς,
εἷς δὲ Λυκωπίτας· ὁ δὲ Τίτυρος ἐγγύθεν ᾀσεῖ,
ὥς ποκα τᾶς Ξενίας ἠράσσατο Δάφνις ὁ βώτας,
χὠς ὄρος ἀμφεπολεῖτο, καὶ ὡς δρύες αὐτὸν ἐθρήνευν,
Ἱμέρα αἵτε φύοντι παρ᾽ ὄχθῃσιν ποταμοῖο,
εὖτε χιὼν ὥς τις κατετάκετο μακρὸν ὑφ᾽ Αἷμον
ἢ Ἄθω ἢ Ῥοδόπαν ἢ Καύκασον ἐσχατόωντα.
ᾀσεῖ δ᾽ ὥς ποκ᾽ ἔδεκτο τὸν αἰπόλον εὐρέα λάρναξ
ζωὸν ἐόντα κακῇσιν ἀτασθαλίῃσιν ἄνακτος,
ὥς τέ νιν αἱ σιμαὶ λειμωνόθε φέρβον ἰοῖσαι
κέδρον ἐς ἁδεῖαν μαλακοῖς ἄνθεσσι μέλισσαι,
οὕνεκά οἱ γλυκὺ Μοῖσα κατὰ στόματος χέε νέκταρ.
ὦ μακαριστὲ Κομᾶτα, τύ θην τάδε τερπνὰ πεπόνθης,

και τὺ κατεκλάσθης ἐς λάρνακα, καὶ τὺ μελισσᾶν
κηρία φερβόμενος ἔτος ὥριον ἐξετέλεσσας.
αἴθ' ἐπ' ἐμεῦ ζωοῖς ἐναρίθμιος ὤφελες ἦμεν,
ὥς τοι ἐγὼν ἐνόμευον ἀν' ὤρεα τὰς καλὰς αἶγας
φωνᾶς εἰσαΐων, τὺ δ' ὑπὸ δρυσὶν ἢ ὑπὸ πεύκαις
ἁδὺ μελισδόμενος κατακέκλισο, θεῖε Κομᾶτα.
Χὼ μὲν τόσσ' εἰπὼν ἀνεπαύσατο· τὸν δὲ μετ' αὖθις
κἠγὼν τοῖ' ἐφάμαν· Λυκίδα φίλε, πολλὰ μὲν ἄλλα
Νύμφαι κἠμὲ δίδαξαν ἀν' ὤρεα βωκολέοντα
ἐσθλά, τά που καὶ Ζανὸς ἐπὶ θρόνον ἄγαγε φάμα·
ἀλλὰ τόγ' ἐκ πάντων μέγ' ὑπείροχον ᾧ τυ γεραίρεν
ἀρξεῦμ'· ἀλλ' ὑπάκουσον, ἐπεὶ φίλος ἔπλεο Μοίσαις.
Σιμιχίδᾳ μὲν Ἔρωτες ἐπέπταρον· ἦ γὰρ ὁ δειλὸς
τόσσον ἐρᾷ Μυρτοῦς, ὅσον εἴαρος αἶγες ἔρανται.
ὤρατος δ' ὁ τὰ πάντα φιλαίτατος ἀνέρι τήνῳ
παιδὸς ὑπὸ σπλάγχνοισιν ἔχει πόθον. οἶδεν Ἄριστις,
ἐσθλὸς ἀνήρ, μέγ' ἄριστος, ὃν οὐδέ κεν αὐτὸς ἀείδεν
Φοῖβος σὺν φόρμιγγι παρὰ τριπόδεσσι μεγαίροι,
ὡς ἐκ παιδὸς Ἄρατος ὑπ' ὀστέον αἴθετ' ἔρωτι.
τόν μοι, Πάν, Ὁμόλας ἐρατὸν πέδον ὅστε λέλογχας,
ἄκλητον τήνοιο φίλας ἐς χεῖρας ἐρείσαις,
εἴτ' ἔστ' ἆρα Φιλῖνος ὁ μαλθακὸς εἴτε τις ἄλλος.
κἢν μὲν ταῦθ' ἔρδῃς, ὦ Πὰν φίλε, μή τί τυ παῖδες
Ἀρκαδικοὶ σκίλλαισιν ὑπὸ πλευράς τε καὶ ὤμους
τανίκα μαστίσδοιεν, ὅτε κρέα τυτθὰ παρείη·
εἰ δ' ἄλλως νεύσεις, κατὰ μὲν χρόα πάντ' ὀνύχεσσι
δακνόμενος κνάσαιο καὶ ἐν κνίδαισι καθεύδοις,
εἴης δ' Ἠδωνῶν μὲν ἐν ὤρεσι χείματι μέσσῳ
Ἕβρον πὰρ ποταμὸν τετραμμένος ἐγγύθεν ἄρκτου,
ἐν δὲ θέρει πυμάτοισι παρ' Αἰθιόπεσσι νομεύοις
πέτρᾳ ὕπο Βλεμύων, ὅθεν οὐκέτι Νεῖλος ὁρατός.
ὔμμες δ' Ὑετίδος καὶ Βυβλίδος ἁδὺ λιπόντες
νᾶμα κατοικεῦντες ξανθᾶς ἕδος αἰπὺ Διώνας,

ὦ μάλοισιν Ἔρωτες ἐρευθομένοισιν ὁμοῖοι,
βάλλετέ μοι τόξοισι τὸν ἱμερόεντα Φιλῖνον,
βάλλετ', ἐπεὶ τὸν ξεῖνον ὁ δύσμορος οὐκ ἐλεεῖ μευ.
καὶ δὴ μὰν ἀπίοιο πεπαίτερος, αἱ δὲ γυναῖκες
αἰαῖ φαντί, Φιλῖνε, τό τοι καλὸν ἄνθος ὑποῤῥεῖ.
μηκέτι τοι φρουρέωμες ἐπὶ προθύροισιν, Ἄρατε,
μηδὲ πόδας τρίβωμες· ὁ δ' ὄρθριος ἄλλον ἀλέκτωρ
κοκκύσδων νάρκῃσιν ἀνιαρῇσι διδοίη·
εἷς δ' ἐπὶ τᾶσδε, φέριστε, Μόλων ἄγχοιτο παλαίστρας.
ἄμμιν δ' ἀσυχία τε μέλοι γραία τε παρείη,
ἅτις ἐπιφθύσδοισα τὰ μὴ καλὰ νόσφιν ἐρύκοι.
Τόσσ' ἐφάμαν· ὁ δέ μοι τὰ λαγωβόλον ἁδὺ γελάξας
ὡς πάρος ἐκ Μοισᾶν ξεινήϊον ὤπασεν ἦμεν.
χὠ μὲν ἀποκλίνας ἐπ' ἀριστερὰ τὰν ἐπὶ Πύξας
εἷρφ' ὁδόν, αὐτὰρ ἐγών τε καὶ Εὔκριτος ἐς Φρασιδάμω
στραφθέντες χὠ καλὸς Ἀμύντιχος ἔν τε βαθείαις
ἁδείας σχίνοιο χαμευνίσιν ἐκλίνθημες
ἔν τε νεοτμάτοισι γεγαθότες οἰναρέοισιν.
πολλαὶ δ' ἁμὶν ὕπερθε κατὰ κρατὸς δονέοντο
αἴγειροι πτελέαι τε· τὸ δ' ἐγγύθεν ἱερὸν ὕδωρ
Νυμφᾶν ἐξ ἄντροιο κατειβόμενον κελάρυσδεν.
τοὶ δὲ ποτὶ σκιεραῖς ὀροδαμνίσιν αἰθαλίωνες
τέττιγες λαλαγεῦντες ἔχον πόνον· ἁ δ' ὀλολυγὼν
τηλόθεν ἐν πυκινῇσι βάτων τρύζεσκεν ἀκάνθαις.
ἄειδον κόρυδοι καὶ ἀκανθίδες, ἔστενε τρυγών,
πωτῶντο ξουθαὶ περὶ πίδακας ἀμφὶ μέλισσαι.
πάντ' ὦσδεν θέρεος μάλα πίονος, ὦσδε δ' ὀπώρας.
ὄχναι μὲν πὰρ ποσσί, παρὰ πλευρῇσι δὲ μᾶλα
δαψιλέως ἁμῖν ἐκυλίνδετο· τοὶ δ' ἐκέχυντο
ὄρπακες βραβύλοισι καταβρίθοντες ἔρασδε·
τετράενες δὲ πίθων ἀπελύετο κρατὸς ἄλειφαρ.
Νύμφαι Κασταλίδες Παρνάσιον αἶπος ἔχοισαι,
ἆρά γέ πα τοιόνδε Φόλω κατὰ λάϊνον ἄντρον

κρατῆρ' Ἡρακλῆι γέρων ἐστάσατο Χείρων;
ἆρά γέ πα τῆνον τὸν ποιμένα τὸν ποτ' Ἀνάπῳ,
τὸν κρατερὸν Πολύφαμον, ὃς ὤρεσι νᾶας ἔβαλλε,
τοῖον νέκταρ ἔπεισε κατ' αὔλια ποσσὶ χορεῦσαι,
οἷον δὴ τόκα πῶμα διεκρανώσατε, Νύμφαι,
βωμῷ πὰρ Δάματρος ἀλωάδος; ἇς ἐπὶ σωρῷ
αὖτις ἐγὼ πάξαιμι μέγα πτύον, ἁ δὲ γελάξαι
δράγματα καὶ μάκωνας ἐν ἀμφοτέραισιν ἔχοισα.

6.

ΕΙΔΥΛΛΙΟΝ Η'.

Δάφνιδι τῷ χαρίεντι συνήντετο βουκολέοντι
μᾶλα νέμων, ὡς φαντί, κατ' ὤρεα μακρὰ Μενάλκας.
ἄμφω τώγ' ἤστην πυρροτρίχω, ἄμφω ἀνάβω,
ἄμφω συρίσδεν δεδαημένω, ἄμφω ἀείδεν.
πρᾶτος δ' ὦν ποτὶ Δάφνιν ἰδὼν ἀγόρευε Μενάλκας·
μυκητᾶν ἐπίουρε βοῶν Δάφνι, λῇς μοι ἀεῖσαι;
φαμί τυ νικασεῖν ὅσσον θέλω αὐτὸς ἀείδων.
τὸν δ' ἄρα χὠ Δάφνις τοιῷδ' ἀπαμείβετο μύθῳ·
ποιμὰν εἰροπόκων ὀΐων συρικτὰ Μενάλκα,
οὔποτε νικασεῖς μ' οὐδ' εἴτι πάθοις τύ γ' ἀείδων.

ΜΕΝΑΛΚΑΣ.

χρήσδεις ὦν ἐσιδεῖν; χρήσδεις καταθεῖναι ἄεθλον;

ΔΑΦΝΙΣ.

χρήσδω τοῦτ' ἐσιδεῖν, χρήσδω καταθεῖναι ἄεθλον.

ΜΕΝΑΛΚΑΣ.

καὶ τίνα θησεύμεσθ' ὅτις ἁμῖν ἄρκιος εἴη;

ΔΑΦΝΙΣ.

μόσχον ἐγὼ θησῶ· τὺ δὲ θὲς γ' ἰσομάτορα ἀμνόν.

ΜΕΝΑΛΚΑΣ.

οὐ θησῶ ποκα ἀμνόν, ἐπεὶ χαλεπός θ' ὁ πατήρ μευ
χά μάτηρ, τὰ δὲ μᾶλα ποθέσπερα πάντ' ἀριθμεῦντι.

ΔΑΦΝΙΣ.

ἀλλὰ τί μὰν θησεῖς; τί δὲ τὸ πλέον ἕξεῖ ὁ νικῶν;

ΜΕΝΑΛΚΑΣ.

σύριγγ' ἃν ἐποίησα καλὰν ἔχω ἐννεάφωνον,
λευκὸν καρὸν ἔχοισαν, ἶσον κάτω, ἶσον ἄνωθεν·
ταύταν κατθείην, τὰ δὲ τῶ πατρὸς οὐ καταθησῶ.

ΔΑΦΝΙΣ.

ἦ μάν τοι κἠγὼ σύριγγ' ἔχω ἐννεάφωνον,
λευκὸν καρὸν ἔχοισαν, ἶσον κάτω, ἶσον ἄνωθεν.
πρώαν νιν συνέπαξ'· ἔτι καὶ τὸν δάκτυλον ἀλγέω
τοῦτον, ἐπεὶ κάλαμός με διασχισθεὶς διέτμαξεν.
ἀλλὰ τίς ἄμμε κρινεῖ; τίς ἐπάκοος ἔσσεται ἁμέων;

ΜΕΝΑΛΚΑΣ.

τῆνόν πως ἐνταῦθα τὸν αἰπόλον ἦν καλέσωμες,
ᾧ ποτὶ ταῖς ἐρίφοις ὁ κύων ὁ φάλαρος ὑλακτεῖ.

Χοί μὲν παῖδες ἄϋσαν, ὁ δ' αἰπόλος ἦνθ' ἐπακούσας·
χοί μὲν παῖδες ἄειδον, ὁ δ' αἰπόλος ἤθελε κρίνειν.
πρᾶτος δ' ὦν ἄειδε λαχὼν ἰυκτὰ Μενάλκας.

Φείδευ τᾶν ἐρίφων, φείδευ, λύκε, τῶν τοκάδων μευ,
μηδ' ἀδίκει μ' ὅτι μικκὸς ἐὼν πολλαῖσιν ὁμαρτέω.
ὦ Λάμπουρε κύων, οὕτω βαθὺς ὕπνος ἔχει τυ;
οὐ χρὴ κοιμᾶσθαι βαθέως σὺν παιδὶ νέμοντα.
ταὶ δ' ὄϊες μηδ' ὔμμες ὀκνεῖθ' ἁπαλᾶς κορέσασθαι
ποίας· οὔτι καμεῖσθ' ὄκκ' ἂν πάλιν ἅδε φύηται.
σίττα νέμεσθε, νέμεσθε, τὰ δ' οὔθατα πλήσατε πᾶσαι,
ὡς τὸ μὲν ὥρνες ἔχωντι, τὸ δ' ἐς ταλάρως ἀπόθωμαι.

Δεύτερος αὖ Δάφνις λιγυρῶς ἀνεβάλλετ' ἀεῖδεν.
Κἠμὲ γάρ ἐκ τὤντρω σύνοφρυς κόρα ἐχθὲς ἰδοῖσα

τὰς δαμάλας παρελεῦντα καλὸν καλὸν ἦμες ἔφασκεν·
οὐ μὰν οὐδὲ λόγων ἐκρίθην ἄπο τὸν πικρὸν αὐτῷ,
ἀλλὰ κάτω βλέψας τὰν ἁμετέραν ὁδὸν εἷρπον.
ἁδεῖ᾽ ἁ φωνὰ τᾶς πόρτιος, ἁδὺ τὸ πνεῦμα·
ἁδὺ δὲ τῶ θέρεος παρ᾽ ὕδωρ ῥέον αἰθριοκοιτῆν.
τᾷ δρυῒ ταὶ βάλανοι κόσμος, τᾷ μαλίδι μᾶλα,
τᾷ βοῒ δ᾽ ἁ μόσχος, τῷ βωκόλῳ αἱ βόες αὐταί.
Ὣς οἱ παῖδες ἄεισαν, ὁ δ᾽ αἰπόλος ὧδ᾽ ἀγόρευεν.
ἁδύ τι τὸ στόμα τευ καὶ ἐφίμερος, ὦ Δάφνι, φωνά·
κρέσσον μελπομένω τευ ἀκουέμεν ἢ μέλι λεῖχεν.
λάσδεο τὰς σύριγγας· ἐνίκησας γὰρ ἀείδων.
αἰ δέ τι λῇς με καὶ αὐτὸν ἅμ᾽ αἰπολέοντα διδάξαι,
τήναν τὰν μιτύλαν δωσῶ τὰ δίδακτρά τοι αἶγα,
ἅτις ὑπὲρ κεφαλᾶς αἰεὶ τὸν ἀμολγέα πληροῖ.
ὡς μὲν ὁ παῖς ἐχάρη καὶ ἀνάλατο καὶ πλατάγησεν
νικήσας, οὕτως ἐπὶ ματέρα νεβρὸς ἅλοιτο.
ὡς δὲ κατεσμύχθη καὶ ἀνετράπετο φρένα λύπᾳ
ὥτερος, οὕτω καὶ νύμφα γαμεθεῖσ᾽ ἀκάχοιτο.
κὴκ τούτω Δάφνις παρὰ ποιμέσι πρᾶτος ἔγεντο,
καὶ Νύμφαν ἄκρηβος ἐὼν ἔτι Ναΐδα γᾶμεν.

7.

ΕΙΔΥΛΛΙΟΝ ΙΑ΄.

Οὐδὲν ποττὸν ἔρωτα πεφύκη φάρμακον ἄλλο,
Νικία, οὔτ᾽ ἔγχριστον, ἐμὶν δοκεῖ, οὔτ᾽ ἐπίπαστον,
ἢ ταὶ Πιερίδες· κοῦφον δέ τι τοῦτο καὶ ἁδὺ
γίνετ᾽ ἐπ᾽ ἀνθρώποις, εὑρῆν δ᾽ οὐ ῥᾴδιόν ἐντι.
γινώσκεν δ᾽ οἶμαί τυ καλῶς ἰατρὸν ἐόντα
καὶ ταῖς ἐννέα δὴ πεφιλαμένον ἔξοχα Μοίσαις.
οὕτω γοῦν ῥάϊστα διᾶγ᾽ ὁ Κύκλωψ ὁ παρ᾽ ἁμῖν,
ὡρχαῖος Πολύφαμος, ὅκ᾽ ἤρατο τᾶς Γαλατείας,
ἄρτι γενειάσδων περὶ τὸ στόμα τὼς κροτάφως τε.
ἤρατο δ᾽ οὐ μάλοις οὐδ᾽ αὖ ῥόδῳ οὐδὲ κικίννοις,

ἀλλ' ὀρθαῖς μανίαις, ἁγεῖτο δὲ πάντα πάρεργα.
πολλάκι ταὶ ὄιες ποτὶ τωὔλιον αὐταὶ ἀπῆνθον
χλωρᾶς ἐκ βοτάνας· ὁ δὲ τὰν Γαλάτειαν ἀείδων
αὐτῶ ἐπ' ἀιόνος κατετάκετο φυκιοέσσας
ἐξ ἀοῦς, ἔχθιστον ἔχων ὑποκάρδιον ἕλκος,
Κύπριδος ἐκ μεγάλας τό οἱ ἥπατι πᾶξε βέλεμνον.
ἀλλὰ τὸ φάρμακον εὗρε, καθεζόμενος δ' ἐπὶ πέτρας
ὑψηλᾶς ἐς πόντον ὁρῶν ἄειδε τοιαῦτα.
Ὦ λευκὰ Γαλάτεια, τί τὸν φιλέοντ' ἀποβάλλῃ;
λευκοτέρα πακτᾶς ποτιδεῖν, ἁπαλωτέρα ἀρνός,
μόσχω γαυροτέρα, φιαρωτέρα ὄμφακος ὠμᾶς.
φοιτῇς εὐθὺς ἰοῖσ' ὅκκα γλυκὺς ὕπνος ἔχῃ με,
οἴχῃ δ' αὖθ' οὕτως ὅκκα γλυκὺς ὕπνος ἀνῇ με,
φεύγεις δ' ὥσπερ ὄις πολιὸν λύκον ἀθρήσασα.
ἠράσθην μὲν ἔγωγε τεοῦς, κόρα, ἁνίκα πρᾶτον
ἦνθες ἐμᾷ σὺν ματρὶ θέλοισ' ὑακίνθινα φύλλα
ἐξ ὄρεος δρέψασθαι, ἐγὼ δ' ὁδὸν ἁγεμόνευον.
παύσασθαι δ' ἐσιδών τυ καὶ ὕστερον οὐδέ τι πω νῦν
ἐκ τήνω δύναμαι· τὶν δ' οὐ μέλει οὐ μὰ Δί' οὐδέν.
γινώσκω, χαρίεσσα κόρα, τίνος οὕνεκα φεύγεις·
οὕνεκά μοι λασία μὲν ὀφρὺς ἐπὶ παντὶ μετώπῳ
ἐξ ὠτὸς τέταται ποτὶ θὤτερον ὡς μία μακρά,
ἧς δ' ὀφθαλμὸς ἔπεστι, πλατεῖα δὲ ῥὶς ἐπὶ χείλει.
ἀλλ' ὡὗτος τοιοῦτος ἐὼν βοτὰ χίλια βόσκω,
κἠκ τούτων τὸ κράτιστον ἀμελγόμενος γάλα πίνω·
τυρὸς δ' οὐ λείπει μ' οὔτ' ἐν θέρει οὔτ' ἐν ὀπώρᾳ,
οὐ χειμῶνος ἄκρω· ταρσοὶ δ' ὑπεραχθέες αἰεί.
συρίσδεν δ' ὡς οὔτις ἐπίσταμαι ὧδε Κυκλώπων,
τίν, τὸ φίλον γλυκύμαλον, ἁμᾶ κἠμαυτὸν ἀείδων
πολλάκι νυκτὸς ἀωρί. τρέφω δέ τοι ἕνδεκα νεβρώς
πάσας μαννοφόρως καὶ σκύμνως τέσσαρας ἄρκτων.
ἀλλ' ἀφίκευ τὺ ποτ' ἄμμε, καὶ ἑξεῖς οὐδὲν ἔλασσον,
τὰν γλαυκὰν δὲ θάλασσαν ἔα ποτὶ χέρσον ὀρεχθῆν·
ἅδιον ἐν τὤντρῳ παρ' ἐμὶν τὰν νύκτα διαξεῖς·

ἐντὶ δάφναι τηνεῖ, ἐντὶ ῥαδιναὶ κυπάρισσοι,
ἐντὶ μέλας κισσός, ἔντ' ἄμπελος ἁ γλυκύκαρπος,
ἐντὶ ψυχρὸν ὕδωρ, τό μοι ἁ πολυδένδρεος Αἴτνα
λευκᾶς ἐκ χιόνος ποτὸν ἀμβρόσιον προΐητι.
τίς κεν τῶνδε θάλασσαν ἔχειν ἢ κύμαθ' ἕλοιτο;
αἱ δέ τοι αὐτὸς ἐγὼν δοκέω λασιώτερος ἦμεν,
ἐντὶ δρυὸς ξύλα μοι καὶ ὑπὸ σποδῷ ἀκάματον πῦρ·
καιόμενος δ' ὑπὸ τεῦς καὶ τὰν ψυχὰν ἀνεχοίμαν
καὶ τὸν ἕν' ὀφθαλμόν, τῶ μοι γλυκερώτερον οὐδέν.
ὤμοι ὅτ' οὐκ ἔτεκέν μ' ἁ μάτηρ βράγχι' ἔχοντα,
ὡς κατέδυν ποτὶ τὶν καὶ τὰν χέρα τεῦς ἐφίλασα,
αἰ μὴ τὸ στόμα λῇς· ἔφερον δέ τοι ἢ κρίνα λευκά
ἢ μάκων' ἁπαλὰν ἐρυθρὰ πλαταγώνι' ἔχοισαν.
ἀλλὰ τὰ μὲν θέρεος, τὰ δὲ γίνεται ἐν χειμῶνι,
ὥςτ' οὐκ ἄν τοι ταῦτα φέρειν ἅμα πάντ' ἐδυνάθην.
νῦν μάν, ὦ κόριον, νῦν αὐτόθι νεῖν γε μαθεῦμαι,
αἴκα τις σὺν ναὶ πλέων ξένος ὧδ' ἀφίκηται,
ὡς εἰδῶ τί ποθ' ἁδὺ κατοικεῖν τὸν βυθὸν ὔμμιν.
ἐξένθοις, Γαλάτεια, καὶ ἐξενθοῖσα λάθοιο,
ὥςπερ ἐγὼν νῦν ὧδε καθήμενος οἴκαδ' ἀπενθεῖν,
ποιμαίνειν δ' ἐθέλοις σὺν ἐμὶν ἅμα καὶ γάλ' ἀμέλγειν
καὶ τυρὸν πᾶξαι τάμισον δριμεῖαν ἐνεῖσα.
ἁ μάτηρ ἀδικεῖ με μόνα, καὶ μέμφομαι αὐτᾷ·
οὐδὲν πάποχ' ὅλως ποτὶ τὶν φίλον εἶπεν ὑπὲρ μευ,
καὶ ταῦτ' ἆμαρ ἐπ' ἆμαρ ὁρεῦσά με λεπτὸν ἐόντα.
φασῶ τὰν κεφαλὰν καὶ τὼς πόδας ἀμφοτέρως μευ
σφύσδειν, ὡς ἀνιαθῇ, ἐπεὶ κἠγὼν ἀνιῶμαι.
ὦ Κύκλωψ, Κύκλωψ, πᾷ τὰς φρένας ἐκπεπότασαι;
αἴκ' ἐνθὼν ταλάρως τε πλέκοις καὶ θαλλὸν ἀμάσας
ταῖς ἄρνεσσι φέροις, τάχα καὶ πολὺ μᾶλλον ἔχοις νοῦν.
τὰν παρεοῖσαν ἄμελγε. τί τὸν φεύγοντα διώκεις;
εὑρήσεις Γαλάτειαν ἴσως καὶ καλλίον' ἄλλαν.
πολλαὶ συμπαίσδέν με κόραι τὰν νύκτα κέλονται,
κιχλίσδοντι δὲ πᾶσαι, ἐπεί κ' αὐταῖς ὑπακούσω.

δηλονότ' ἐν τᾷ γᾷ κἠγών τις φαίνομαι ἦμες.
Οὕτω τοι Πολύφαμος ἐποίμαινεν τὸν ἔρωτα
μουσίσδων, ῥᾷον δὲ διᾶγ' ἢ εἰ χρυσὸν ἔδωκεν.

8.

ΕΙΔΥΛΛΙΟΝ ΙΕ'.

ΓΟΡΓΩ.

Ἔνδοι Πραξινόα;

ΠΡΑΞΙΝΟΑ.

Γοργοῖ φίλα, ὡς χρόνῳ. ἔνδοι.
θαῦμ' ὅτι καὶ νῦν ἦνθες. ὅρη δρίφον, Εὐνόα, αὐτᾷ·
ἔμβαλε καὶ ποτίκρανον.

ΓΟΡΓΩ.

ἔχει κάλλιστα.

ΠΡΑΞΙΝΟΑ.

καθίζευ.

ΓΟΡΓΩ.

ὢ τᾶς ἀλεμάτω ψυχᾶς· μόλις ὔμμιν ἐσώθην,
Πραξινόα, πολλῶ μὲν ὄχλω πολλῶν δὲ τεθρίππων.
παντᾷ κρηπῖδες, παντᾷ χλαμυδηφόροι ἄνδρες·
ἁ δ' ὁδὸς ἄτρυτος· τὺ δ' ἐμεῦ ἀφ' ἑκαστέρω οἰκεῖς.

ΠΡΑΞΙΝΟΑ.

ταῦθ' ὁ πάραρος τῆνος ἐπ' ἔσχατα γᾶς ἔλαβ' ἐνθών,
ἰλεόν, οὐκ οἴκησιν, ὅπως μὴ γείτονες ὦμες
ἀλλάλαις, ποτ' ἔριν φθονερὸν κακὸν αἰὲν ὁμοῖος.

ΓΟΡΓΩ.

μὴ λέγε τὸν τεὸν ἄνδρα, φίλα, Δίνωνα τοιαῦτα
τῶ μικκῶ παρεόντος· ὅρη, γύναι, ὡς ποθορῇ τυ.
θάρσει, Ζωπυρίων, γλυκερὸν τέκος· οὐ λέγει ἀπφύν.

ΠΡΑΞΙΝΟΑ.

αἰσθάνεται τὸ βρέφος ναὶ τὰν πότνιαν.

ΓΟΡΓΩ.

καλὸς ἀπφύς.

ΠΡΑΞΙΝΟΑ.

ἀπφὺς μὰν τῆνος πρώαν (λέγομες τὰ πρώαν θην
πάντα) νίτρον καὶ φῦκος ἀπὸ σκανᾶς ἀγοράσδων,
κῆνθε φέρων ἅλας ἄμμιν, ἀνὴρ τριςκαιδεκάπαχυς.

ΓΟΡΓΩ.

χὠμὸς ταὔτ᾽ ἄρ᾽ ἔχει, φθόρος ἀργυρίω, Διοκλείδας·
ἑπταδράχμως κυνάδας, γραιᾶν ἀποτίλματα πηρᾶν,
πέντε πόκως ἔλαβ᾽ ἐχθές, ἅπαν ῥύπον, ἔργον ἐπ᾽
ἔργῳ.
ἀλλ᾽ ἴθι τὠμπέχονον καὶ τὰν περονατρίδα λάζευ.
βᾶμ᾽ ἐς τῶ βασιλῆος ἐς ἀφνειῶ Πτολεμαίω,
θασεῦμαι τὸν Ἄδωνιν· ἀκούω χρῆμα καλόν τι
κοσμῆν τὰν βασίλισσαν.

ΠΡΑΞΙΝΟΑ.

ἐν ὀλβίω ὄλβια πάντα.

ΓΟΡΓΩ.

ὧν ἴδες, ὧν εἶπας καὶ ἰδοῖσα τὺ τῷ μὴ ἰδόντι.
ἕρπειν ὥρα κ᾽ εἴη.

ΠΡΑΞΙΝΟΑ.

ἀεργοῖς αἰὲν ἑορτά.
Εὐνόα, αἶρε τὸ νᾶμα καὶ ἐς μέσον, αἰνόθρυπτε,
θὲς πάλιν· αἱ γαλέαι μαλακῶς χρῄσδοντι καθεύδεν·
κινεῦ δή, φέρε θᾶσσον ὕδωρ. ὕδατος πρότερον δεῖ·
ἃ δὲ σμᾶμα φέρει. δὸς ὅμως· μὴ πουλὺ δ᾽, ἄπληστε,
ἔγχει ὕδωρ· δύστανε, τί μευ τὸ χιτώνιον ἄρδεις;
παῦσαι. ὁποῖα θεοῖς ἐδόκει τοιαῦτα νένιμμαι.
ἁ κλὰξ τᾶς μεγάλας πᾷ λάρνακος; ὧδε φέρ᾽ αὐτάν.

ΓΟΡΓΩ.

Πραξινόα, μάλα τοι τὸ καταπτυχὲς ἐμπερόναμα
τοῦτο πρέπει· λέγε μοι, πόσσω κατέβα τοι ἀφ' ἱστῶ;

ΠΡΑΞΙΝΟΑ.

μὴ μνάσῃς, Γοργοῖ· πλέον ἀργυρίω καθαρῶ μνᾶν
ἢ δύο· τοῖς δ' ἔργοις καὶ τὰν ψυχὰν ποτέθηκα.

ΓΟΡΓΩ.

ἀλλὰ κατὰ γνώμαν ἀπέβα τοι τοῦτο.

ΠΡΑΞΙΝΟΑ.

καλ' εἶπας.
τὠμπέχονον φέρε μοι καὶ τὰν θολίαν κατὰ κόσμον
ἀμφίθες. οὐκ ἀξῶ τυ, τέκνον· μορμώ, δάκνει ἵππος.
δάκρυ' ὅσσ' ἐθέλεις· χωλὸν δ' οὐ δεῖ τυ γενέσθαι.
ἕρπωμες. Φρυγία, τὸν μικκὸν παῖσδε λαβοῖσα,
τὰν κύν' ἔσω κάλεσον, τὰν αὐλείαν ἀπόκλαξον.
ὦ θεοί, ὅσσος ὄχλος. πῶς καὶ πόκα τοῦτο περᾶσαι
χρὴ τὸ κακόν; μύρμακες ἀνάριθμοι καὶ ἄμετροι.
πολλά τοι, ὦ Πτολεμαῖε, πεποίηται καλὰ ἔργα
ἐξ ὦ ἐν ἀθανάτοις ὁ τεκών· οὐδεὶς κακοεργός
δαλεῖται τὸν ἰόντα παρέρπων Αἰγυπτιστί,
οἷα πρὶν ἐξ ἀπάτας κεκροταμένοι ἄνδρες ἔπαισδον,
ἀλλάλοις ὁμαλοί, κακὰ παίγνια, πάντες ἐριθοί.
ἁδίστα Γοργοῖ, τί γενώμεθα; τοὶ πτολεμισταί
ἵπποι τῶ βασιλῆος. ἄνερ φίλε, μή με πατήσῃς.
ὀρθὸς ἀνέστα ὁ πύῤῥος· ἴδ' ὡς ἄγριος· κυνοθαρσὴς
Εὐνόα οὐ φευξῇ; διαχρησεῖται τὸν ἄγοντα.
ὠνάθην μεγάλως ὅτι μοι τὸ βρέφος μένει ἔνδον.

ΓΟΡΓΩ.

θάρσει, Πραξινόα· καὶ δὴ γεγενήμεθ' ὄπισθεν,
τοὶ δ' ἔβαν ἐς χώραν.

ΠΡΑΞΙΝΟΑ.

κἠυτὰ συναγείρομαι ἤδη.
ἵππον καὶ τὸν ψυχρὸν ὄφιν ταμάλιστα δεδοίκω
ἐκ παιδός. σπεύδωμες· ὄσος δ' ὄχλος ἄμμιν ἐπιῤῥεῖ.

ΓΟΡΓΩ.

ἐξ αὐλᾶς, ὦ μᾶτερ;

ΓΡΑΥΣ.

ἐγών, τέκνον.

ΓΟΡΓΩ.

εἶτα παρενθῆν
εὐμαρές;

ΓΡΑΥΣ.

ἐς Τροίαν πειρώμενοι ἦνθον Ἀχαιοί,
κάλλιστα παίδων· πείρᾳ θην πάντα τελεῖται.

ΓΟΡΓΩ.

χρησμὼς ἁ πρεσβῦτις ἀπῴχετο θεσπίξασα.

ΠΡΑΞΙΝΟΑ.

πάντα γυναῖκες ἴσαντι, καὶ ὡς Ζεὺς ἀγάγεθ' Ἥραν.

ΓΟΡΓΩ.

θᾶσαι, Πραξινόα, περὶ τὰς θύρας ὅσσος ὅμιλος.

ΠΡΑΞΙΝΟΑ.

θεσπέσιος. Γοργοῖ, δὸς τὰν χέρα μοι· λαβὲ καὶ τύ,
Εὐνόα, Εὐτυχίδος· πότεχ' αὐτᾷ μή τι πλαναθῇς.
πᾶσαι ἅμ' εἰςένθωμες· ἀπρὶξ ἔχευ, Εὐνόα, ἁμῶν.
οἴμοι δειλαία, δίχα μευ τὸ θερίστριον ἤδη
ἔσχισται, Γοργοῖ. πὸτ τῶ Διός, αἴτι γένοιο
εὐδαίμων, ὤνθρωπε, φυλάσσεο τὠμπέχονόν μευ.

ΞΕΝΟΣ.

οὐκ ἐπ' ἐμὶν μέν, ὅμως δὲ φυλάξομαι.

ΠΡΑΞΙΝΟΑ.

ἀθρόος ὄχλος·
ὠθεῦνθ᾽ ὥςπερ ὕες.

ΞΕΝΟΣ.

θάρσει, γύναι· ἐν καλῷ εἰμές.

ΠΡΑΞΙΝΟΑ.

κεἰς ὥρας κἤπειτα φίλ᾽ ἀνδρῶν ἐν καλῷ εἴης
ἄμμε περιστέλλων. χρηστῶ κᾠκτίρμονος ἀνδρός.
φλίβεται Εὐνόα ἄμμιν· ἄγ᾽, ὦ δειλὰ τύ, βιάζευ.
κάλλιστ᾽· ἐνδοῖ πᾶσαι, ὁ τὰν νυὸν εἶπ᾽ ἀποκλάξας.

ΓΟΡΓΩ.

Πραξινόα, πόταγ᾽ ὧδε. τὰ ποικίλα πρᾶτον ἄθρησον,
λεπτὰ καὶ ὡς χαρίεντα· θεῶν περονάματα φασεῖς.

ΠΡΑΞΙΝΟΑ.

πότνι᾽ Ἀθαναία, ποῖαί σφ᾽ ἐπόνασαν ἔριθοι,
ποῖοι ζωογράφοι τἀκριβέα γράμματ᾽ ἔγραψαν.
ὡς ἔτυμ᾽ ἑστάκαντι καὶ ὡς ἔτυμ᾽ ἐνδινεῦντι,
ἔμψυχ᾽, οὐκ ἐνυφαντά. σοφόν τι χρῆμ᾽ ὤνθρωπος.
αὐτὸς δ᾽ ὡς θαητὸς ἐπ᾽ ἀργυρέω κατάκειται
κλισμῶ, πρᾶτον ἴουλον ἀπὸ κροτάφων καταβάλλων,
ὁ τριφίλατος Ἄδωνις, ὃ κἠν Ἀχέροντι φιλεῖται.

ΕΤΕΡΟΣ ΞΕΝΟΣ.

παύσασθ᾽, ὦ δύστανοι, ἀνάνυτα κωτίλλοισαι
τρυγόνες. ἐκκναισεῦντι πλατειάσδοισαι ἅπαντα.

ΓΟΡΓΩ.

μᾶ πόθεν ὥνθρωπος; τί δὲ τὶν εἰ κωτίλαι εἰμές;
πασάμενος ποτίτασσε· Συρακοσίαις ποτιτάσσεις;
ὡς δ᾽ εἰδῇς καὶ τοῦτο, Κορίνθιαι εἰμὲς ἄνωθεν,
ὡς καὶ ὁ Βελλεροφῶν· Πελοποννασιστὶ λαλεῦμες·
Δωρίσδεν δ᾽ ἔξεστι, δοκῶ, τοῖς Δωριέεσσιν.

ΠΡΑΞΙΝΟΑ.

μὴ φύη, Μελιτῶδες, ὃς ἁμῶν καρτερὸς εἴη
πλὰν ἑνός· οὐκ ἀλέγω. μή μοι κενεὰν ἀπομάξῃς.

ΓΟΡΓΩ.

σίγα, Πραξινόα· μέλλει τὸν Ἄδωνιν ἀείδεν
ἁ τᾶς Ἀργείας θυγάτηρ πολύϊδρις ἀοιδός,
ἅ τις καὶ Σπέρχιν τὸν ἰάλεμον ἀρίστευσεν.
φθεγξεῖταί τι, σάφ' οἶδα, καλόν· διαθρύπτεται ἤδη.

ΓΥΝΗ ΑΟΙΔΟΣ.

δέσποιν', ἃ Γολγώς τε καὶ Ἰδαλίαν ἐφίλασας
αἰπεινάν τ' Ἔρυκα, χρυσῶπις δῖ' Ἀφροδίτα,
οἷόν τοι τὸν Ἄδωνιν ἀπ' ἀενάω Ἀχέροντος
μηνὶ δυωδεκάτῳ μαλακαίποδες ἄγαγον Ὧραι.
βάρδισται μακάρων Ὧραι φίλαι, ἀλλὰ ποθειναὶ
ἔρχονται πάντεσσι βροτοῖς αἰεί τι φοροῖσαι.
Κύπρι Διωναία, τὺ μὲν ἀθανάταν ἀπὸ θνατᾶς,
ἀνθρώπων ὡς μῦθος, ἐποίησας Βερενίκαν
ἀμβροσίαν ἐς στῆθος ἀποστάξασα γυναικός·
τὶν δὲ χαριζομένα, πολυώνυμε καὶ πολύναε,
ἁ Βερενικεία θυγάτηρ Ἑλένᾳ εἰκυῖα
Ἀρσινόα πάντεσσι καλοῖς ἀτιτάλλει Ἄδωνιν.
πὰρ μέν οἱ ὥρια κεῖται ὅσα δρυὸς ἄκρα φέρονται,
πὰρ δ' ἁπαλοὶ κᾶποι πεφυλαγμένοι ἐν ταλαρίσκοις
ἀργυρέοις, Συρίω δὲ μύρω χρύσει' ἀλάβαστρα.
εἴδατά θ' ὅσσα γυναῖκες ἐπὶ πλαθάνῳ πονέονται,
ἄνθεα μίσγοισαι λευκῷ παντοῖ' ἅμ' ἀλεύρῳ,
ὅσσα τ' ἀπὸ γλυκερῶ μέλιτος τά τ' ἐν ὑγρῷ ἐλαίῳ,
πάντ' αὐτῷ πετεηνὰ καὶ ἑρπετὰ τᾶδε πάρεστιν.
χλωραὶ δὲ σκιάδες μαλακῷ βρίθοισαι ἀνήθῳ
δέδμανθ'· οἱ δέ τε κῶροι ὑπερπωτῶνται Ἔρωτες,
οἷοι ἀηδονιδῆες ἀεξομένων ἐπὶ δένδρων
πωτῶνται πτερύγων πειρώμενοι ὄζον ἀπ' ὄζω.
ὢ ἔβενος, ὢ χρυσός, ὢ ἐκ λευκῶ ἐλέφαντος

αἰετῶ οἰνοχόον Κρονίδᾳ Διὶ παῖδα φέροντος.
πορφύρεοι δὲ τάπητες ἄνω, μαλακώτεροι ὕπνω,
ἁ Μίλατος ἐρεῖ χὡ τὰν Σαμίαν καταβόσκων,
ἔστρωται κλίνα τῷ Ἀδώνιδι τῷ καλῷ ἄλλα·
τὰν μὲν Κύπρις ἔχει, τὰν δ' ὁ ῥοδόπαχυς Ἄδωνις,
ὀκτωκαιδεκέτης ἢ ἐννεακαίδεχ' ὁ γαμβρός.
οὐ κεντεῖ τὸ φίλαμ', ἔτι οἱ περὶ χείλεα πυῤῥά.
νῦν μὲν Κύπρις ἔχοισα τὸν αὑτᾶς χαιρέτω ἄνδρα·
ἀῶθεν δ' ἄμμες νιν ἅμα δρόσῳ ἀθρόαι ἔξω
οἰσεῦμες ποτὶ κύματ' ἐπ' ἀϊόνι πτύοντα,
λύσασαι δὲ κόμαν καὶ ἐπὶ σφυρὰ κόλπον ἀνεῖσαι
στήθεσι φαινομένοις λιγυρᾶς ἀρξώμεθ' ἀοιδᾶς.
Ἕρπεις, ὦ φίλ' Ἄδωνι, καὶ ἐνθάδε κεἰς Ἀχέροντα
ἁμιθέων, ὡς φαντί, μονώτατος. οὔτ' Ἀγαμέμνων
τοῦτ' ἔπαθ' οὔτ' Αἴας ὁ μέγας βαρυμάνιος ἥρως
οὔθ' Ἕκτωρ Ἑκάβας ὁ γεραίτατος εἴκατι παίδων,
οὐ Πατροκλῆς, οὐ Πύῤῥος ἀπὸ Τροίας ἐπανελθών,
οὔθ' οἱ ἔτι πρότεροι Λαπίθαι καὶ Δευκαλίωνες,
οὐ Πελοπηιάδαν τε καὶ Ἄργεος ἄκρα Πελασγοί.
Ἵλαθι νῦν, φίλ' Ἄδωνι, καὶ ἐς νέωτ' εὐθυμήσαις:
καὶ νῦν ἦνθες, Ἄδωνι, καὶ ὅκκ' ἀφίκῃ φίλος ἡξεῖς.

ΓΟΡΓΩ.

Πραξινόα τὶ τὸ χρῆμα; σοφώτατον ἁ θήλεια.
ὀλβία ὅσσα ἴσατι, πανολβία ὡς γλυκὺ φωνεῖ.
ὥρα ὅμως κἠς οἶκον. ἀνάριστος Διοκλείδας.
χὡνὴρ ὄξος ἅπαν, πεινᾶντι δὲ μηδὲ ποτένθῃς.
χαῖρε, Ἄδων' ἀγαπατέ, καὶ ἐς χαίροντας ἀφικνεῦ.

9.

ΕΙΔΥΛΛΙΟΝ Κ'.

Εὐνείκα μ' ἐγέλαξε θέλοντά μιν ἁδὺ φιλᾶσαι,
καί μ' ἐπικερτομέοισα τάδ' ἔννεπεν. Ἔῤῥ' ἀπ' ἐμεῖο·
βωκόλος ὢν ἐθέλεις με κύσαι, τάλαν; οὐ μεμάθηκα

ἀγροίκως φιλέειν, ἀλλ' ἀστυκὰ χείλεα θλίβειν.
μή τύ γέ μευ κύσσῃς τὸ καλὸν στόμα μηδ' ἐν ὀνείροις.
οἷα βλέπεις, ὁπποῖα λαλεῖς, ὡς ἄγρια παίσδεις,
ὡς τρυφερὸν λαλέεις, ὡς κωτίλα ῥήματα φράσδεις·
ὡς μαλακὸν τὸ γένειον ἔχεις, ὡς ἁδέα χαίταν.
χείλεά τοι νοσέοντι, χέρες δέ τοι ἐντὶ μέλαιναι,
καὶ κακὸν ἐξόσδεις. ἀπ' ἐμεῦ φύγε, μή με μολύνῃς.
τοιάδε μυθίζοισα τρὶς εἰς ἑὸν ἔπτυσε κόλπον,
καί μ' ἀπὸ τᾶς κεφαλᾶς ποτὶ τὼ πόδε συνεχὲς εἶδεν
χείλεσι μυχθίζοισα καὶ ὄμμασι λοξὰ βλέποισα,
καὶ πολὺ τᾷ μορφᾷ θηλύνετο, καί τι σεσαρός
καὶ σοβαρόν μ' ἐγέλαξεν. ἐμοὶ δ' ἄφαρ ἔζεσεν αἷμα,
καὶ χρόα φοινίχθην ὑπὸ τὤλγεος ὡς ῥόδον ἔρσᾳ.
χἃ μὲν ἔβα με λιποῖσα· φέρω δ' ὑποκάρδιον ὀργάν,
ὅττι με τὸν χαρίεντα κακὰ μωμήσαθ' ἑταίρα.
ποιμένες, εἴπατέ μοι τὸ κρήγυον, οὐ καλὸς ἐμμί;
ἆρά τις ἐξαπίνας με θεὸς βροτὸν ἄλλον ἔτευξεν;
καὶ γὰρ ἐμοὶ τὸ πάροιθεν ἐπάνθεεν ἁδύ τι κάλλος
ὡς κισσὸς ποτὶ πρέμνον, ἐμὰν δ' ἐπύκαζεν ὑπήναν,
χαῖται δ' οἷα σέλινα περὶ κροτάφοισι κέχυντο,
καὶ λευκὸν τὸ μέτωπον ἐπ' ὀφρύσι λάμπε μελαίναις,
ὄμματά μοι γλαυκᾶς χαροπώτερα πολλὸν Ἀθάνας,
στόμα καὶ μευ πακτᾶς γλυκερώτερον, ἐκ στομάτων δὲ
ἔρρεέ μοι φωνὰ γλυκερωτέρα ἢ μέλι κηρῶ.
ἁδὺ δέ μοι τὸ μέλισμα καὶ ἢν σύριγγι μελίσδω
κἢν αὐλῷ λαλέω κἢν δώνακι κἢν πλαγιαύλῳ.
καὶ πᾶσαι καλόν με κατ' ὤρεα φαντὶ γυναῖκες,
καὶ πᾶσαί με φιλεῦντι· τὰ δ' ἀστυκά μ' οὐκ ἐφίλασεν,
ἀλλ' ὅτι βωκόλος ἐμμὶ παρέδραμε κοὐ ποτακούει·
χὼ καλὸς Διόνυσος ἐν ἄγκεσι πόρτιν ἐλαύνει.
οὐκ ἔγνω δ' ὅτι Κύπρις ἐπ' ἀνέρι μήνατο βούτᾳ
καὶ Φρυγίοις ἐνόμευσεν ἐν ὤρεσι, καὶ τὸν Ἄδωνιν
ἐν δρυμοῖσι φίλασε καὶ ἐν δρυμοῖσιν ἔκλαυσεν.
Ἐνδυμίων δὲ τίς ἦν; οὐ βωκόλος; ὅν γε Σελάνα

βωκολέοντα φίλασεν, ἀπ' Οὐλύμπω δὲ μολοῖσα
Λάτμιον ἂν νάπος ἦλθε καὶ εἰς ἓν παιδὶ κάθευδεν.
καὶ τύ, Ῥέα, κλαίεις τὸν βωκόλον. οὐχὶ δὲ καὶ τύ,
ὦ Κρονίδα, διὰ παῖδα βοηνόμον ὄρνις ἐπλάγχθης;
Εὔνεικα δὲ μόνα τὸν βωκόλον οὐκ ἐφίλασεν,
ἁ Κυβέλας κρέσσων καὶ Κύπριδος, ἁ δὲ Σελάνας.
μηκέτι μηδὲ σύ, Κύπρι, τὸν Ἄρεα μήτε κατ' ἄστυ
μήτ' ἐν ὄρει φιλέοις, μώνα δ' ἀνὰ νύκτα καθεύδοις.

ΒΙΩΝΟΣ ΣΜΥΡΝΑΙΟΥ.

1.

ΕΠΙΤΑΦΙΟΣ ΑΔΩΝΙΔΟΣ.

Αἰάζω τὸν Ἄδωνιν· ἀπώλετο καλὸς Ἄδωνις.
ὤλετο καλὸς Ἄδωνις, ἐπαιάζουσιν Ἔρωτες.
μηκέτι πορφυρέοις ἐνὶ φάρεσι, Κύπρι, κάθευδε·
ἔγρεο, δειλαία κυανοστόλε, καὶ πλατάγησον
στάθεα καὶ λέγε πᾶσιν· ἀπώλετο καλὸς Ἄδωνις.
Αἰάζω τὸν Ἄδωνιν· ἐπαιάζουσιν Ἔρωτες.
κεῖται καλὸς Ἄδωνις ἐπ' ὤρεσι μηρὸν ὀδόντι
λευκῷ λευκὸν ὀδόντι τυπείς, καὶ Κύπριν ἀνιᾷ
λεπτὸν ἀποψύχων· τὸ δέ οἱ μέλαν εἴβεται αἷμα
χιονέας κατὰ σαρκός, ὑπ' ὀφρύσι δ' ὄμματα ναρκῇ,
καὶ τὸ ῥόδον φεύγει τῶ χείλεος· ἀμφὶ δὲ τήνῳ
θνάσκει καὶ τὸ φίλαμα τὸ μήποτε Κύπρις ἀφήσει.
Κύπριδι μὲν τὸ φίλαμα καὶ οὐ ζώοντος ἀρέσκει,
ἀλλ' οὐκ οἶδεν Ἄδωνις ὅ μιν θνάσκοντ' ἐφίλασεν.
Αἰάζω τὸν Ἄδωνιν· ἐπαιάζουσιν Ἔρωτες.
ἄγριον ἄγριον ἕλκος ἔχει κατὰ μηρὸν Ἄδωνις·
μεῖζον δ' ἁ Κυθέρεια φέρει ποτικάρδιον ἕλκος.
κεῖνον μὲν περὶ πολλὰ φίλοι κύνες ὠδύραντο,

καὶ Νύμφαι κλαίουσιν ὀρειάδες· ἁ δ' Ἀφροδίτα
λυσαμένα πλοκαμῖδας ἀνὰ δρυμὼς ἀλάληται
πενθαλέα νήπλεκτος ἀσάνδαλος, αἱ δὲ βάτοι νιν
ἐρχομέναν κείροντι καὶ ἱερὸν αἷμα δρέπονται·
ὀξὺ δὲ κωκύουσα δι' ἄγκεα μακρὰ φορεῖται,
Ἀσσύριον βοόωσα πόσιν καὶ πολλὰ καλεῦσα.
ἀμφὶ δέ μιν μέλαν αἷμα παρ' ὀμφαλὸν ἠωρεῖτο,
στάθεα δ' ἐκ μηρῶν φοινίσσετο, οἱ δ' ὑπὸ μαζοὶ
χιόνεοι τὸ πάροιθεν Ἀδώνιδι πορφύροντο.
Αἰαῖ τὰν Κυθέρειαν, ἐπαιάζουσιν Ἔρωτες.
ὤλεσε τὸν καλὸν ἄνδρα, συνώλεσεν ἱερὸν εἶδος.
Κύπριδι μὲν καλὸν εἶδος, ὅτε ζώεσκεν Ἄδωνις·
κάτθανε δ' ἁ μορφὰ σὺν Ἀδώνιδι Κύπριδος αἰαῖ.
ὤρεα πάντα λέγοντι καὶ αἱ δρύες αἲ τὸν Ἄδωνιν,
καὶ ποταμοὶ κλαίουσι τὰ πένθεα τᾶς Ἀφροδίτας,
καὶ παγαὶ τὸν Ἄδωνιν ἐν ὤρεσι δακρύοντι,
ἄνθεα δ' ἐξ ὀδύνας ἐρυθαίνεται· ἁ δὲ Κυθήρα
πάντας ἀνὰ κναμώς, ἀνὰ πᾶν νάπος οἰκτρὸν ἀείδει.
Αἰαῖ τὰν Κυθέρειαν, ἀπώλετο καλὸς Ἄδωνις.
Ἀχὼ δ' ἀντεβόασεν, ἀπώλετο καλὸς Ἄδωνις.
Κύπριδος αἰνὸν ἔρωτα τίς οὐκ ἔκλαυσεν ἄν; αἰαῖ.
ὡς ἴδεν, ὡς ἐνόησεν Ἀδώνιδος ἄσχετον ἕλκος,
ὡς ἴδε φοίνιον αἷμα μαραινομένῳ περὶ μηρῷ,
πάχεας ἀμπετάσασα κινύρετο· μεῖνον, Ἄδωνι,
δύςποτμε μεῖνον Ἄδωνι, πανύστατον ὥς σε κιχείω,
ὥς σε περιπτύξω καὶ χείλεα χείλεσι μίξω.
ἔγρεο τυτθόν, Ἄδωνι, τὸ δ' αὖ πύματόν με φίλασον.
τοσσοῦτόν με φίλασον ὅσον ζώει τὸ φίλαμα,
ἄχρις ἀπὸ ψυχῆς ἐς ἐμὸν στόμα κὴς ἐμὸν ἧπαρ
πνεῦμα τεὸν ῥεύσῃ, τὸ δὲ σεῦ γλυκὺ φίλτρον ἀμέλξω,
ἐκ δὲ πίω τὸν ἔρωτα· φίλαμα δὲ τοῦτο φυλάξω
ὡς αὐτὸν τὸν Ἄδωνιν, ἐπεὶ σύ με, δύςμορε, φεύγεις.
φεύγεις μακρόν, Ἄδωνι, καὶ ἔρχεαι εἰς Ἀχέροντα
καὶ στυγνὸν βασιλῆα καὶ ἄγριον· ἁ δὲ τάλαινα

ζώω καὶ θεὸς ἐμμὶ καὶ οὐ δύναμαί σε διώκειν.
λάμβανε, Περσεφόνα, τὸν ἐμὸν πόσιν· ἐσσὶ γὰρ αὐτὰ
πολλὸν ἐμεῦ κρείσσων, τὸ δὲ πᾶν καλὸν ἐς σὲ καταῤῥεῖ.
εἰμὶ δ' ἐγὼ πανάποτμος, ἔχω δ' ἀκόρεστον ἀνίην,
καὶ κλαίω τὸν Ἄδωνιν ὅ μοι θάνε, καὶ σὲ φοβεῦμαι.
θνάσκεις, ὦ τριπόθατε· πόθος δέ μοι ὡς ὄναρ ἔπτη.
χήρα δ' ἁ Κυθέρεια, κενοὶ δ' ἀνὰ δώματ' Ἔρωτες.
σοὶ δ' ἅμα κεστὸς ὄλωλε· τί γάρ, τολμηρέ, κυνάγεις;
καλὸς ἐὼν τοσσοῦτον ἐμείνας θῆρα παλαίειν;
ὧδ' ὀλοφύρατο Κύπρις· ἐπαιάζουσιν Ἔρωτες,
Αἰαῖ τὰν Κυθέρειαν, ἀπώλετο καλὸς Ἄδωνις.
δάκρυον ἁ Παφία τόσσον χέει, ὅσσον Ἄδωνις
αἷμα χέει. τὰ δὲ πάντα ποτὶ χθονὶ γίγνεται ἄνθη.
αἷμα ῥόδον τίκτει, τὰ δὲ δάκρυα τὰν ἀνεμώναν.
Αἰάζω τὸν Ἄδωνιν· ἀπώλετο καλὸς Ἄδωνις.
μηκέτ' ἐνὶ δρυμοῖσι τὸν ἀνέρα μύρεο, Κύπρι.
ἔστ' ἀγαθὰ στιβάς, ἔστιν Ἀδώνιδι φυλλὰς ἑτοίμα·
λέκτρον ἔχει, Κυθέρεια, τὸ σόν· σὺ δὲ νεκρός, Ἄδωνι.
καὶ νέκυς ὢν καλός ἐσσί, καλὸς νέκυς, οἷα καθεύδων.
κάτθεό νιν μαλακοῖς ἐνὶ φάρεσιν οἷς ἐνίαυεν,
οἷς μετὰ σεῦ ἀνὰ νύκτα τὸν ἱερὸν ὕπνον ἐνάρχθη
παγχρύσῳ κλιντῆρι· ποθεῖ καὶ στυγνὸν Ἄδωνιν.
βάλλε δὲ νιν στεφάνοισι καὶ ἄνθεσι· πάντα σὺν αὐτῷ,
ὡς τῆνος τέθνακε, καὶ ἄνθεα πάντ' ἐμαράνθη.
ῥαῖνε δέ μιν καλοῖσιν ἀλείφασι, ῥαῖνε μύροισιν.
ὀλλύσθω μύρα πάντα· τὸ σὸν μύρον ὤλετ' Ἄδωνις.
κέκλιται ἁβρὸς Ἄδωνις ἐν εἵμασι πορφυρέοισιν·
ἀμφὶ δέ μιν κλαίοντες ἀναστενάχουσιν Ἔρωτες,
κειράμενοι χαίτας ἐπ' Ἀδώνιδι. χὢ μὲν ὀϊστώς,
ὃς δ' ἐπὶ τόξον ἔβαιν', ὃς δ' εὔπτερον ἆγε φαρέτραν,
χὢ μὲν ἔλυσε πέδιλον Ἀδώνιδος, ὃς δὲ λέβητι
χρυσείῳ φορέησιν ὕδωρ, ὁ δὲ μηρία λούει,
ὃς δ' ὄπιθεν πτερύγεσσιν ἀναψύχει τὸν Ἄδωνιν.
Αὐτὰν τὰν Κυθέρειαν ἐπαιάζουσιν Ἔρωτες.

ἔσβεσε λαμπάδα πᾶσαν ἐπὶ φλιαῖς Ὑμέναιος,
καὶ στέφος ἐξεπέτασσε γαμήλιον. οὐκ ἔτι δ' Ὑμάν,
Ὑμὰν οὐκ ἔτ' ἀειδόμενον μέλος, ᾄδεται αἰαῖ.
αἰαῖ καὶ τὸν Ἄδωνιν ἔτι πλέον ἢ Ὑμέναιος
αἱ Χάριτες κλαίοντι τὸν υἱέα τὸν Κινύραο,
ὤλετο καλὸς Ἄδωνις ἐν ἀλλήλῃσι λέγοισαι.
αὗται δ' ὀξὺ λέγοντι πολὺ πλέον ἢ τύ, Διώνα·
καὶ Μοῖσαι τὸν Ἄδωνιν ἀνακλαίουσιν Ἄδωνιν,
καί μιν ἐπαείδουσιν, ὁ δὲ σφίσιν οὐκ ἐπακούει.
οὐ μὰν οὐκ ἐθέλει, Κώρα δέ μιν οὐκ ἀπολύει.
Λῆγε γόων, Κυθέρεια, τοσήμερον ἴσχεο κομμῶν.
δεῖ σε πάλιν κλαῦσαι, πάλιν εἰς ἔτος ἄλλο δακρῦσαι.

2.

ΚΛΕΟΔΑΜΟΣ.

Εἶαρος, ὦ Μύρσων, ἢ χείματος ἢ φθινοπώρου
ἢ θέρεος τί τοι ἁδύ; τί δὲ πλέον εὔχεαι ἐλθεῖν;
ἢ θέρος, ἁνίκα πάντα τελείεται ἅσσα μογεῦμες;
ἢ γλυκερὸν φθινόπωρον, ὅτ' ἀνδράσι λιμὸς ἐλαφρά;
ἢ καὶ χεῖμα δύσεργον; ἐπεὶ καὶ χείματι πολλοὶ
θαλπόμενοι θέλγονται ἀεργείῃ τε καὶ ὄκνῳ.
ἤ τοι καλὸν ἔαρ πλέον εὔαδεν; εἰπὲ τί τοι φρὴν
αἱρεῖται; λαλέειν γὰρ ἐπέτραπεν ἁ σχολὰ ἄμμιν.

ΜΥΡΣΩΝ.

κρίνειν οὐκ ἐπέοικε θεήια ἔργα βροτοῖσιν·
πάντα γὰρ ἱερὰ ταῦτα καὶ ἁδέα· σεῦ δὲ ἕκατι
ἐξερέω, Κλεόδαμε, τό μοι πέλεν ἅδιον ἄλλων.
οὐκ ἐθέλω θέρος ἦμεν, ἐπεὶ τόκα μ' ἅλιος ὀπτῇ·
οὐκ ἐθέλω φθινόπωρον, ἐπεὶ νόσον ὥρια τίκτει.
οὖλον χεῖμα φέρειν νιφετὸν κρυμούς τε φοβεῦμαι.
εἶαρ ἐμοὶ τριπόθατον ὅλῳ λυκάβαντι παρείη,
ἁνίκα μήτε κρύος μήθ' ἅλιος ἄμμε βαρύνει.

εἴαρι πάντα κύει, πάντ' εἴαρος ἁδέα βλαστεῖ,
χά νὺξ ἀνθρώποισιν ἴσα καὶ ὁμοίιος ἀώς.

ΜΟΣΧΟΥ ΣΥΡΑΚΟΥΣΙΟΥ.

I.

ΕΠΙΤΑΦΙΟΣ ΒΙΩΝΟΣ.

Αἴλινά μοι στοναχεῖτε, νάπαι καὶ Δώριον ὕδωρ,
καὶ, ποταμοί, κλαίοιτε τὸν ἱμερόεντα Βίωνα.
νῦν, φυτά, μοι μύρεσθε καὶ, ἄλσεα, νῦν γοάοισθε,
ἄνθεα, νῦν στυγνοῖσιν ἀποπνείοιτε κορύμβοις.
νῦν, ῥόδα, φοινίσσεσθε τὰ πένθιμα, νῦν, ἀνεμώνα.
νῦν, ὑάκινθε, λάλει τὰ σὰ γράμματα καὶ πλέον αἰαῖ
λάμβανε τοῖς πετάλοισι· καλὸς τέθνακε μελικτάς.
Ἄρχετε Σικελικαὶ τῶ πένθεος ἄρχετε Μοῖσαι.
ἀδόνες αἱ πυκινοῖσιν ὀδυρόμεναι ποτὶ φύλλοις
νάμασι τοῖς Σικελοῖς ἀγγείλατε τᾶς Ἀρεθοίσας,
ὅττι Βίων τίθνακεν ὁ βωκόλος, ὅττι σὺν αὐτῷ
καὶ τὸ μέλος τέθνακε καὶ ὤλετο Δωρὶς ἀοιδά.
Ἄρχετε Σικελικαὶ τῶ πένθεος ἄρχετε Μοῖσαι.
Στρυμμόνιοι μύρεσθε παρ' ὕδασιν αἴλινα κύκνοι,
καὶ γοεροῖς στομάτεσσι μελίσδετε πένθιμον ᾠδάν,
οἵα ἐν ὑμετέροις ποτὲ χείλεσι γῆρυς ἄειδεν.
εἴπατε δ' αὖ κώραις Οἰαγρίσιν, εἴπατε πάσαις
Βιστονίαις Νύμφαισιν, ἀπώλετο Δώριος Ὀρφεύς.
Ἄρχετε Σικελικαὶ τῶ πένθεος ἄρχετε Μοῖσαι.
κεῖνος ὁ ταῖς ἀγέλαισιν ἐράσμιος οὐκ ἔτι μέλπει,
οὐκ ἔτ' ἐρημαίῃσιν ὑπὸ δρυσὶν ἥμενος ᾄδει,
ἀλλὰ παρὰ Πλουτῆι μέλος ληθαῖον ἀείδει.
ὤρεα δ' ἐστὶν ἄφωνα, καὶ αἱ βόες αἱ ποτὶ ταύροις
πλασδόμεναι γοάοντι καὶ οὐκ ἐθέλοντι νέμεσθαι.
Ἄρχετε Σικελικαὶ τῶ πένθεος ἄρχετε Μοῖσαι.
σεῖο, Βίων, ἔκλαυσε ταχὺν μόρον αὐτὸς Ἀπόλλων,

καὶ Σάτυροι μύροντο μελάγχλαινοί τε Πρίηποι,
καὶ Πᾶνες στοναχεῦντι τὸ σὸν μέλος, αἵ τε καθ' ὕλαν
Κρανίδες ὠδύραντο, καὶ ὕδατα δάκρυα γέντο.
Ἀχὼ δ' ἐν πέτρῃσιν ὀδύρεται ὅττι σιωπῇς
κοὐκ ἔτι μιμεῖται τὰ σὰ χείλεα. σῷ δ' ἐπ' ὀλέθρῳ
δένδρεα καρπὸν ἔριψε τὰ δ' ἄνθεα πάντ' ἐμαράνθη.
μάλων οὐκ ἔῤῥευσε καλὸν γλάγος, οὐ μέλι σίμβλων,
κάτθανε δ' ἐν καρῷ λυπεύμενον· οὐκέτι γὰρ δεῖ
τῶ μέλιτος τῶ σῶ τεθνακότος αὐτὸ τρυγᾶσθαι.
Ἄρχετε Σικελικαὶ τῶ πένθεος ἄρχετε Μοῖσαι.
οὐ τόσον εἰναλίῃσι παρ' ᾀόσι μύρατο δελφίν,
οὐδὲ τόσον ποκ' ἄυσεν ἐνὶ σκοπέλοισιν ἀηδών,
οὐδὲ τόσον θρήνησεν ἀν' ὤρεα μακρὰ χελιδών,
Ἀλκυόνης δ' οὐ τόσσον ἐπ' ἄλγεσιν ἴαχε κεῖρις
οὐδὲ τόσον γλαυκοῖς ἐνὶ κύμασι κηρύλος ᾆδεν,
οὐ τόσον ἀῴοισιν ἐν ἄγκεσι παῖδα τὸν Ἀοῦς
ἱπτάμενος περὶ σᾶμα κινύρατο Μέμνονος ὄρνις,
ὅσσον ἀποφθιμένοιο κατωδύραντο Βίωνος.
Ἄρχετε Σικελικαὶ τῶ πένθεος ἄρχετε Μοῖσαι.
ἀδονίδες πᾶσαί τε χελιδόνες, ἅς ποκ' ἔτερπεν,
ἃς λαλέειν ἐδίδασκε, καθεσδόμεναι ποτὶ πρέμνοις
ἀντίον ἀλλάλαισιν ἐκώκυον· αἱ δ' ὑπεφώνευν
ὄρνιθες. λυπεῖσθε, πελειάδες, ἀλλὰ καὶ ὑμεῖς.
Ἄρχετε Σικελικαὶ τῶ πένθεος ἄρχετε Μοῖσαι.
τίς ποτε σᾷ σύριγγι μελίξεται, ὦ τριπόθατε;
τίς δ' ἐπὶ σοῖς καλάμοις θησεῖ στόμα; τίς θρασὺς οὕτως;
εἰσέτι γὰρ πνείει τὰ σὰ χείλεα καὶ τὸ σὸν ἆσθμα,
ἀχὼ δ' ἐν δονάκεσσι τεᾶς ἐπιβόσκετ' ἀοιδάς.
Πανὶ φέρω τὸ μέλιγμα; τάχ' ἂν κἠκεῖνος ἐρεῖσαι
τὸ στόμα δειμαίνοι, μὴ δεύτερα σεῖο φέρηται.
Ἄρχετε Σικελικαὶ τῶ πένθεος ἄρχετε Μοῖσαι.
κλαίει καὶ Γαλάτεια τὸ σὸν μέλος, ἅν ποκ' ἔτερπες
ἑσδομέναν μετὰ σεῖο παρ' ἀϊόνεσσι θαλάσσας.
οὐ γὰρ ἴσον Κύκλωπι μελίσδεο· τὸν μὲν ἔφευγεν

ἁ καλὰ Γαλάτεια, σὲ δ' ἅδιον ἔβλεπεν ἅλμας.
καὶ νῦν λασαμένα τῶ κύματος ἐν ψαμάθοισιν
ἕσδετ' ἐρημαίαισι, βόας δ' ἔτι σεῖο δοκεύει.

Ἄρχετε Σικελικαὶ τῶ πένθεος ἄρχετε Μοῖσαι.
πάντα τοι, ὦ βῶτα, ξυγκάτθανε δῶρα τὰ Μοισᾶν,
παρθενικᾶν ἐρόεντα φιλάματα, χείλεα παίδων,
καὶ στυγνοὶ περὶ σᾶμα τεὸν κλαίουσιν Ἔρωτες.
ἁ Κύπρις φιλέει σε πολὺ πλέον ἢ τὸ φίλαμα
τὸ πρώαν τὸν Ἄδωνιν ἀποθνάσκοντα φίλασεν.

Ἄρχετε Σικελικαὶ τῶ πένθεος ἄρχετε Μοῖσαι.
τοῦτό τοι, ὦ ποταμῶν λιγυρώτατε, δεύτερον ἄλγος,
τοῦτο, Μέλη, νέον ἄλγος. ἀπώλετο πρᾶν τοι Ὅμηρος,
τῆνο τὸ Καλλιόπας γλυκερὸν στόμα, καί σε λέγοντι·
μύρασθαι καλὸν υἷα πολυκλαύστοισι ῥεέθροις
πᾶσαν δὲ πλῆσαι φωνᾶς ἅλα· νῦν πάλιν ἄλλον
υἱέα δακρύεις, καινῷ δ' ἐπὶ πένθεϊ τάκῃ.
ἀμφότεροι παγαῖς πεφιλαμένοι ὃς μὲν ἔπινεν
Παγασίδος κράνας ὁ δ' ἔχεν πόμα τᾶς Ἀρεθοίσας.
χὢ μὲν Τυνδαρέοιο καλὰν ἄεισε θύγατρα
καὶ Θέτιδος μέγαν υἷα καὶ Ἀτρείδαν Μενέλαον·
κεῖνος δ' οὐ πολέμως, οὐ δάκρυα, Πᾶνα δ' ἔμελπεν
καὶ βώτας ἐλίγαινε καὶ ἀείδων ἐνόμευεν
καὶ σύριγγας ἔτευχε καὶ ἁδέα πόρτιν ἄμελγεν
καὶ παίδων ἐδίδασκε φιλάματα καὶ τὸν Ἔρωτα
ἔτρεφεν ἐν κόλποισι καὶ ἤρεθε τὰν Ἀφροδίταν.

Ἄρχετε Σικελικαὶ τῶ πένθεος ἄρχετε Μοῖσαι.
πᾶσα, Βίων, θρηνεῖ σε κλυτὴ πόλις, ἄστεα πάντα·
Ἄσκρα μὲν γοάει σε πολὺ πλέον Ἡσιόδοιο,
Πίνδαρον οὐ ποθέοντι τόσον Βοιωτίδες ὗλαι,
οὐ τόσον Ἀλκαίω πέρι κείρατο Λέσβος ἐραννά,
οὐδὲ τόσον τὸν ἀοιδὸν ἐμύρατο Τήιον ἄστυ,
σὲ πλέον Ἀρχιλόχοιο ποθεῖ Πάρος, ἀντὶ δὲ Σαπφοῦς
εἰσέτι σεῦ τὸ μέλιγμα κινύρεται ἁ Μιτυλάνα.

[πάντες ὅσοις καπυρὸν τελέθει στόμα βωκολιασταὶ
ἐκ Μοισᾶν σέο πότμον ἀνακλαίουσι θανόντος·
κλαίει Σικελίδας, τὸ Σάμου κλέος, ἐν δὲ Κύδωσιν
ὁ πρὶν μειδιόωντι σὺν ὄμματι φαιδρὸς ἰδέσθαι
δακρύα νῦν Λυκίδας κλαίων χέει, ἔν τε πολίταις
Τριοπίδαις ποταμῷ θρηνεῖ παρ' Ἄλεντι Φιλητᾶς,]
ἐν δὲ Συρακοσίοισι Θεόκριτος· αὐτὰρ ἐγώ τοι
Αὐσονικᾶς ὀδύνας μέλπω μέλος, οὐ ξένος ᾠδᾶς
βουκολικᾶς, ἀλλ' ἅν τ' ἐδιδάξαο σεῖο μαθητάς
κλαρονόμος Μώσας τᾶς Δωρίδος. ἄμμε γεραίρων
ἄλλοις μὲν τεὸν ὄλβον ἐμοὶ δ' ἀπέλειπες ἀοιδάν.
Ἄρχετε Σικελικαὶ τῶ πένθεος ἄρχετε Μοῖσαι.
αἰαῖ ταὶ μαλάχαι μὲν ἐπὰν κατὰ κᾶπον ὄλωνται,
ἠ τὰ χλωρὰ σέλινα τό τ' εὐθαλὲς οὖλον ἄνηθον
ὕστερον αὖ ζώοντι καὶ εἰς ἔτος ἄλλο φύοντι·
ἄμμες δ' οἱ μεγάλοι καὶ καρτερικοὶ σοφοὶ ἄνδρες
ὁππότε πρᾶτα θάνωμες ἀνάκοοι ἐν χθονὶ κοίλᾳ
εὕδομες εὖ μάλα μακρὸν ἀτέρμονα νήγρετον ὕπνον.
καὶ σὺ μὲν ἐν σιγᾷ πεπυκασμένος ἔσσεαι ἐν γᾷ,
ταῖς Νύμφαισι δ' ἔδοξεν ἀεὶ τὸν βάτραχον ᾄδειν.
τῷ δ' ἐγὼ οὐ φθονέοιμι· τὸ γὰρ μέλος οὐ καλὸν ᾄδει.
Ἄρχετε Σικελικαὶ τῶ πένθεος ἄρχετε Μοῖσαι.
φάρμακον ἦλθε, Βίων, ποτὶ σὸν στόμα, φάρμακον εἶδες.
τοιούτοις χείλεσσι ποτέδραμε κοὐκ ἐγλυκάνθη;
τίς δὲ βροτὸς τοσσοῦτον ἀνάμερος ἢ κεράσαι τοι
ἢ δοῦναι λαλέοντι τὸ φάρμακον; ἦ φύγεν ᾠδάν.
Ἄρχετε Σικελικαὶ τῶ πένθεος ἄρχετε Μοῖσαι.
ἀλλὰ δίκα κίχε πάντας. ἐγὼ δ' ἐπὶ πένθεϊ τῷδε
δακρυχέων τεὸν οἶτον ὀδύρομαι. εἰ δυνάμαν δέ,
ὡς Ὀρφεὺς καταβὰς ποτὶ Τάρταρον, ὥς ποκ' Ὀδυσσεύς,
ὡς πάρος Ἀλκείδας, κἠγὼ τάχ' ἂν ἐς δόμον ἦλθον
Πλουτέος, ὥς κεν ἴδοιμι καὶ εἰ Πλουτῆι μελίσδεις,
ὡς ἂν ἀκουσαίμην τί μελίσδεαι. ἀλλ' ἐπὶ Κώρᾳ
Σικελικόν τι λίγαινε καὶ ἁδύ τι βωκολιάσδευ.

κἀκεῖνα Σικελὶς καὶ ἐν Αἰτναίοισιν ἔπαιζεν
ἄγκεσι καὶ μέλος οἶδε τὸ Δώριον· οὐκ ἀγέραστος
ἐσσεῖθ' ἁ μολπά, χὡς Ὀρφέϊ πρόσθεν ἔδωκεν
ἁδέα φορμίσδοντι παλίσσυτον Εὐρυδίκειαν,
καὶ σέ, Βίων, πεμψεῖ τοῖς ὤρεσιν. εἰ δέ τι κἠγὼν
συρίσδων δυνάμαν, παρὰ Πλουτέϊ καὐτὸς ἄειδον.

2.

Τὰν ἅλα τὰν γλαυκὰν ὅταν ὤνεμος ἀτρέμα βάλλῃ,
τὰν φρένα τὰν δειλὰν ἐρεθίζομαι, οὐδ' ἔτι μοι γᾶ
ἐντὶ φίλα, ποθέει δὲ ποτὶ πλόον ἅ με γαλάνα.
ἀλλ' ὅταν ἀχήσῃ πολιὸς βυθός, ἁ δὲ θάλασσα
κυρτὸν ἐπαφρίζῃ, τὰ δὲ κύματα μακρὰ μεμήνῃ,
ἐς χθόνα παπταίνω καὶ δένδρεα, τὰν δ' ἅλα φεύγω,
γᾶ δέ μοι ἀσπαστὰ χἁ δάσκιος εὔαδεν ὕλα,
ἔνθα καὶ ἢν πνεύσῃ πολὺς ὤνεμος ἁ πίτυς ᾄδει.
ἦ κακὸν ὁ γριπεὺς ζώει βίον ᾧ δόμος ἁ ναῦς
καὶ πόνος ἐντὶ θάλασσα καὶ ἰχθὺς ἁ πλάνος ἄγρα.
αὐτὰρ ἐμοὶ γλυκὺς ὕπνος ὑπὸ πλατάνῳ βαθυφύλλῳ,
καὶ παγᾶς φιλέοιμι τὸν ἐγγύθεν ἦχον ἀκούειν,
ἃ τέρπει ψοφέοισα τὸν ἄγριον, οὐχὶ ταράσσει.

ANNOTATIONES.

Quando mihi res publica largius tribuet otium, ad iustum quem dicunt commentarium scribendum eumque scholarum potissimum usui accommodatum conferam: interim sufficiat poetarum ætatem summatim attigisse fontesque unde hausimus fideliter aperuisse.

ΕΛΕΓΕΙΑ.

I. CALLINVS floruisse videtur haud procul ab Olympiadum initio. Eius elegia exstat in Stobæi florilegio LI, 19. cf. Callini, Tyrtæi, Asii carminum quæ supersunt ed. N. Bachius. Lipsiæ 1831.

II. ARCHILOCHVS floruit Gyge regnante Olymp. 23. (anno 688 ante Christum natum). Cf. N. Bach. de lugubri Græcorum elegia Spec. 1. Vratislaviæ 1835. *Ἐλεγείων τῶν ἐπὶ τοῦ ναυαγίου* versus 1 et 2 leguntur in scholiis ad Apollon. Rhod. I, 824. V. 3 et 4 apud Plutarch. de aud. poetis c. 6. V. 5 et 6 in scholiis ad Æschyli Prometh. 617. V. 7—17 in Stobæi florileg. CXXIIII, 30. V. 18 et 19 apud Plutarch. l. c. c. 12. V. 20 in Stobæi eclog. phys. VII, 3.

III. ASIVS quo tempore vixerit incertum est: Athenæus tamen III p. 125. B. *ποιητὴν* designat *τὸν παλαιὸν ἐκεῖνον*. Fragmentum ipsum spectat ad parodicum elegiarum genus. Cf. Asii carminum quæ supersunt ed. N. Bach. Welcker. de cyclo epico p. 144 sq.

IIII. TYRTÆVS floruit inde ab Olymp. 23, 4 (685 a. Chr.) cf. Tyrtæi carminum quæ supersunt ed. N. Bach.

Εὐνομίας V. 1—4 Strabon. VIII, 4, 10. V. 5—16 Plutarch. Lycurg. c. 6 et Diodor. Excerpt. Vat. p. 3 ed. Dindorf. V. 17 et 18 Pausan. IIII, 6, 2. V. 19 Schol. ad Platon. Legg. p. 448. V. 20—24 Strabon. VI, 3, 3. V. 25—29 Pausan. IIII, 14, 13.— *Ὑποθηκῶν* eleg. 1 Lycurg. in Leocrat. c. 28. eleg. 2 Stob. florileg. L, 7. eleg. 3 Ibid. LI, 1. et LI, 5.

V. MIMNERMVS vixit Olymp. 37 (632 a. Chr.) cf. Mimnermi carminum quæ supersunt ed. N. Bach. Lipsiæ 1826. *Ναννοῦς* 1. Stob. florileg. LXIII, 16. cf. Plutarch. de virtute moral. c. 6. Horat. epist. I, 6, 65. 2. ibid. LXXXXVIII, 13. 3. ibid. CXVI, 33. cf. Theognis V. 1011—16. 4. Diogen. Laert. I, 60 et Theognis V. 1069 sq. (cf. Epimetrum ad Philetæ reliq. ed. Bach. p. 264 sq. Th. Bergk. in Zimmermanni diario phil. a. 1834 p. 426). 5. Athen. XI, p. 470. A. B. 6. Stob. florileg. VII, 12.

VI. SOLO, clarissimus ille Atheniensium legislator, floruit Olymp. 46, 3 (594 a. Chr.). Cf. Solonis carminum quæ supersunt ed. N. Bach. Bonnæ 1825. *Ἐκ τῶν ὑποθηκῶν εἰς ἑαυτόν* 1. Philo Iud. I, p. 25. Clemens Alex. Strom. p. 814. 2. Stob. florileg. VIIII, 25. Aristot. Polit. I, 3, 9. cf. Cratetis fragm. 1. 3. *Ἐκ τῶν περὶ Σαλαμῖνος* V. 1 et 2. Plutarch. Sol. c. 8. V. 3—8 Diogen. Laert. I, 47. 4. *Ἐκ τῶν περὶ τῆς τῶν Ἀθηναίων πολιτείας*. V. 1—38 Demosthen. de falsa legat. p. 203. V. 39—44 Plutarch. Solon. c. 18. V. 45 et 46 Id. comp. Solonis cum Popl. c. 2. V. 47 et 48 Id. Sol. c. 26. V. 49—63 Diodor. Excerpt. Vat. p. 23 ed. Dindorf. cf. Diogen. Laert. I, 50. Plutarch. Sol. c. 3. V. 64 et 65. Diogen. Laert. I, 49. 5. *Ἐκ τῶν πρὸς Μίμνερμον* V. 1—4 Diogen. Laert. I, 60. V. 5 et 6. Plutarch. comp. Sol. et Popl. c. 1. Stob. florileg. CXXII, 3. 6. *Ἐκ τῶν πρὸς Φιλόκυπρον*. Plutarch. Sol. c. 26. cf. Herodot. V, 113.

VII. ANACREON floruit inde ab Olymp. 55 (560 a. Chr.). cf. Anacreontis carmina ed. Th. Bergk. Lipsiæ 1834. N. Bach de symposiaca Graecorum elegia. Fuldæ 1837. 1. Athen. XI, p. 463. A. 2. Antholog. Palat. VI, 134.

VIII. XENOPHANIS ætas inde ab Olymp. 40 (620 a. Chr.) usque ad Olymp. 67 (512) perrexisse videtur. Cf. Xenophanis carminum reliq. ed. S. Karsten. Bruxellis 1830. N. Bach de symp. eleg. p. 5. 1. Athen. XI, p. 462 C. cf. G. Hermann. in Zimmermanni diario phil. a. 1837. num. 39. 2. Athen. X, p. 413 sq. 3. Id. XII, p. 526. A. B. 4. Diogen. Laert. VIII, 36. 5. Id. VIIII, 19.

VIIII. THEOGNIS floruit circa Olymp. 58 (548 a. Chr.). Vid. Theognidis elegi rec. I. Bekkerus. Lipsiæ 1815. ed. 2. Berolini 1827. ed. F. Th. Welcker. Francofurti 1826. 1. *Γνῶμαι πρὸς Κύρνον*. V. 1—8 in vulg. Theognidis editionibus V. 183—190. V. 9—12 = 193—196 vulg. V. 13—18 = 1109—1114 vulg. V. 19—34 = 1135—1150 vulg. (35—50 Welcker.) V. 35—42 = 31—38 (51—58). V. 43—52 = 133—142 (91—100). V. 53—62 = 373—382 (149—158). V. 63—84 = 733—752 (169—190). V. 85—90 = 429—434 (255—260). V. 91—98 = 963—970 (359—366). V. 99—108 = 119—128 (369—378). V. 109—112 = 865—868. V. 113—132 = 699—718 (493—520). V. 133—142 = 43—52 (707—716). V. 143—148 = 783—788 (765—770). V. 149—154 = 19—24 (859—864). V. 155—170 = 237—252 (865—880). — 2. *Γνῶμαι πρὸς Πολυπαίδην*. V. 1—2 = 25—26 (881—82). V. 3—14 = 57—68 (883—894). V. 15—22 = 79—86 (899—906). V. 23—28 = 1197—1202 (911—916). — 3. *Συμποτικά*. V. 1—4 = 15—18 (935—938). V. 5—6 = 255—56 (939—40). V. 7—14 = 761—768 (947—954). V. 15—18 = 567—570 (955—958). V. 19—24 = 983—88 (959—64). V. 25—30 = 973—78 (997—1002). V. 31—34 = 493—96 (1011—14).

X. PHOCYLIDES Theognidis æequalis. Cf. Clintonis fasti Hell. II. p. 9. ed. Krüger. — 1. Strabon. X, p. 747. Eustath. ad Dionys. Perieg. 530. 2. Anth. Pal. X, 117.

XI. ÆSOPVS quum vix idem atque fabularum ille scriptor fuisse videatur, ad remotiorem tamen antiquitatem pertinuisse censendus. Anth. Pal. X, 123.

XII. SIMONIDES Iulieta natus Olymp. 56, 1 (556 a. Chr.) defunctus Olymp. 78 (467). Cf. Simonidis carminum reliq. ed. F. G. Schneidewin. Brunsvigae 1835. N. Bach de lugubri Græcorum elegia Spec. II. Fuldæ 1836. — 1. Stob. floríleg. LXXXXVIII, 29. cf. G. Hermann. in Zimmermanni diar. phil. a. 1836. num. 66. 2. *Εἴς τινα ναυηγὸν ἐν Γερανείᾳ καὶ ἐν ταῖς Σκειρωνίσι πέτραις ναυαγήσαντα.* Anth. Pal. VII, 496. 3. *Εἰς Τίμαρχον νεώτερον ἐν νόσῳ τελευτήσαντα.* Anth. Pal. VII, 515 et 513. 4. *Εἰς Γοργώ τινα κόρην τελευτήσασαν.* Anth. Pal. VII, 647. 5. Plutarch. de Herodoti malign. c. 42. Apollonii Soph. Lex. Hom. p. 117 ed. Bekker.

XIII. IO primam tragœdiam docuit Olymp. 82 (452 a. Chr.). Cf. E. S. Kœpke de Ionis vita et fragmentis. Berolini 1836. N. Bach. de symp. eleg. — 1. Athen. X p. 447 D. 2. Id. XI p. 463 B. 3. Diogen. Laert. I, 120.

XIIII. EVENVS floruit Olymp. 82, 3 (450 a. Chr.). cf. N. Bach. de symp. eleg. p. 10. — 1. Anth. Pal. XI, 49. 2. Aristot. Metaphys. IIII, 5. Eth. ad Eud. II, 7. Theognid. v. 469—476. 3. Athen. VIIII p. 367 E. 4. Stob. floríleg. XX, 2. 5. Appendix Stobæi floríleg. Vol. IIII. p. 10 ed. Gaisford. ubi scriptura libri Florentini *Ζήνου* audacter emendanda *Εὐήνου.* 6. Stob. floríleg. LI, 17. 7. Anth. Pal. XII, 172.

XV. DIONYSIVS floruit Olymp. 84, 1 (444 a. Chr.). Cf. N. Bach. de symp. eleg. p. 12. — 1. Athen. XV p. 669 D. E. 2. Id. XV p. 669 B. 3. Id. XV p. 668 E. 4. Id. XV p. 668 F. 5. Id. X. p. 443 C. D.

XVI. EVRIPIDES, clarissimus tragœdiarum poeta, natus Olymp. 75, 1 (480 a. Chr.) defunctus Olymp. 93, 3 (406). Cf. N. Bach. de lug. eleg. Spec. II. — 1. *Ἐπικήδειον τῶν Ἀθηναίων τῶν ἐν Σικελίᾳ τεθνηκότων.* Plutarch. Nic. c. 17. 2. *Θρῆνος Ἀνδρομάχης* in Euripidis Andromacha tragœdia v. 103—116.

XVII. SOCRATES, omnium philosophorum facile princeps, natus Olymp. 78, 1 (468 a. Chr.) defunctus Olymp.

95, 2 (399), paucis ante. mortem diebus poeticos quoque lusus instituit teste Platone Phaedon. p. 60. — 1. Diogen. Laert. II, 42. 2. Athen. XIIII p. 628 F.

XVIII. CRITIAS, unus ex triginta tyrannis, Socratis æqualis ac discipulus. Cf. Critiæ carminum quae supersunt ed. N. Bach. Lipsiæ 1827. — *Πολιτειῶν ἐμμέτρων* fragm. 1. Athen. I p. 28 B. 2. Id. X p. 432 D. *Ἐκ τῆς εἰς Ἀλκιβιάδην ἐλεγείας*. 3. Hephæstion. Enchirid. p. 22. Plutarch. Alcib. c. 33.

XVIIII. ANTIMACHVS floruit circa Olymp. 88 (428 a. Chr.). Cf. N. Bach. de lug. eleg. Spec. II. *Λύδης ἐλεγείας* fragm. 1. Stephan. Byz. p. 169 ed. Dindorf. 2. Photii Lex. p. 344 ed. Porson. 3. Schol. ad Euripid. Phœniss. 44. 4. Athen. XI p. 469 E. 5. Schol. ad Apollon. Rhod. I, 1008.

XX. ARISTOTELEM philosophum, natum Olymp. 99, 1 (384 a. Chr.) defunctum Olymp. 114, 3 (322), elegias quoque scripsisse memoriae prodidit Diogenes Laert. V, 27. — Fragmentum *τῶν ἐλεγείων τῶν πρὸς Εὔδημον* servavit Olympiodorus commentar. MS. in Platonis Gorg. Vid. Journal des Savans 1832. p. 745.

XXI. CRATES, philosophus Cynicus, floruit circa Olymp. 113 (328 a. Chr.). — 1. Iulian. orat. VI p. 199. cf. Solonis fragm. 2. 2. Antholog. Planud. p. 16. *Ποσειδίππου, οἱ δὲ Κράτητος τοῦ Κυνικοῦ*. 3. *Εἰς Εὐτέλειαν*. Anth. Pal. X, 104.

XXII. PHILETAS, Ptolemæi Philadelphi (qui regnavit Olymp. 123, 4 — 133, 3 = 285 — 247 a. Chr.) magister. cf. Philetae, Hermesianactis, Phanoclis reliqq. ed. N. Bach. Halis Sax. 1829. — Fragm. 1. *Δήμητρος*. Stob. florileg. CXXIIII, 26. CIIII, 11. 2. *Παιγνίων*. Stob. florileg. LXXXI, 4. CXXIIII, 10. 3. Id. CIIII, 15.

XXIII. HERMESIANAX, Philetæ amicus ac discipulus, tres elegiarum libros *Λεόντιον* inscripsit, e quorum tertio exstat elegia apud Athen. XIII p. 597. cf. Hermesianactis reliq. ed. Bach.

XXIIII. PHANOCLES incerto post Demosthenem tempore floruit, Hermesianactis, ut videtur, æqualis. Cf. Phanoclis rel. ed. Bach. Elegiarum titulus fuit Ἔρωτες ἢ καλοὶ teste Clemente Alex. Strom. VI p. 750. Vid. Stob. florileg. LXIIII, 14.

XXV. THEOCRITVS, carminum bucolicorum scriptor, floruit circa Olymp. 124 (280 a. Chr.). Eleg. 1. inserta Theocriti idyllio VIII, 33—60. cf. G. Hermanni opusc. Vol. V p. 86 sq. Fragmenta 2. 3. 4. quæ vulgo epigrammatis assignantur (temere) ex elegiis potius iisque bucolicis deprompta esse videntur.

XXVI. ALEXANDER floruit Olymp. 124 (280 a. Chr.). cf. Alexandri Ætoli fragmenta ed. A. Capellmann. Bonnæ 1830. N. Bach. in Zimmermanni diario phil. 1837. num. 41. 1. ἐν Ἀπόλλωνι Parthen. Erot. c. 14. 2. ex libro qui inscribitur MUSÆ Macrob. Saturn. V, 22. 3. Athen. XV p. 699 E.

XXVII. CALLIMACHVS, Ptolemæi Philadelphi æqualis, floruit circa Olymp. 125 (276 a. Chr.) Vid. Callimachi hymni cett. ed. I. A. Ernesti. Lugduni Bat. 1761. ed. C. I. Blomfield. Londini 1815.

XXVIII. ERATOSTHENES, Callimachi discipulus, bibliothecæ Alexandrinæ a Ptolemæo Euergete præfectus. cf. G. Bernhardy Eratosthenica. Berolini 1822. N. Bach. in Zimmermanni diar. phil. 1837. num. 42. Stob. florileg. XVIII, 8.

XXVIIII. HEDYLA, Callimachi æqualis. Vid. Iacobs. ad Anth. Græc. III, 3. p. 899 sq. Athen. VII p. 297 B.

XXX. NICANDER floruit circa finem sæculi tertii atque initium sæculi secundi ante Chr. n. Vid. Schneideri præf. ad Nicandri Ther. p. XII sqq. Nicandri carmen, quod teste scholiasta ad Ther. 377 Ὀφιακὰ erat inscriptum, elegiacum fuisse videtur. — Fragm. 1. Ælian. N. A. X, 49. 2. Ibid. XVI, 28.

XXXI. PARTHENIVS, Virgilii præceptor. cf. N. Bach. de lug. eleg. Spec. II. p. 30. G. Hermann. in Zimmermanni diar. phil. 1836. num. 66. Eustath. ad Homeri Iliad. II, 712.

ΕΠΙΓΡΑΜΜΑΤΑ.

XXXII. ARCHILOCHVS. cf. ad num. II. 1. *Εἰς Μεγάτιμον καὶ Ἀριστοφῶντα Ναξίους.* Anth. Pal. VII, 441. 2. Ibid. VI, 133.

XXXIII. SAPPHO. cf. ad num. LIII. 1. *Εἰς Τιμάδα πρὸ γάμου τελευτήσασαν.* Anth. Pal. VII, 489. 2. *Εἰς Πελάγωνα* Ibid. VII, 505.

XXXIIII. ERINNA, Sapphonis familiaris, Vid. Welcker. in Creuzeri Melet. II p. 3 sqq. — 1. Anth. Pal. VI, 352. 2. *Εἰς Βαυκίδα τὴν Μυτιληναίαν Ἠρίννης δὲ συνεταιρίδα.* Anth. Pal. VII, 710.

XXXV. ANACREON. cf. ad num. VII. 1. *Ἀνάθημα τῷ Ἑρμῇ παρὰ Τιμώνακτος* Anth. Pal. VI, 143. 2. Ibid. VI, 346. 3. *Εἰς Ἀγάθωνα στρατιώτην ἐν Ἀβδήροις* ibid. VII, 226. 4. *Εἰς Κλεονορίδην ναυαγήσαντα* ibid. VII, 263.

XXXVI. SIMONIDES. cf. ad num. XII. 1. *Εἰς τοὺς Μαραθωνομάχους.* Lycurg. in Leocr. §. 109. Aristid. II p. 511 ed. Dindorf. 2. *Εἰς τοὺς ἐν Θερμοπύλαις ἀποθανόντας.* Herodot. VII, 228. Diodor. Sic. XI, 33. 3. *Εἰς τοὺς αὐτούς.* [*Σπαρτιήτας ἰδίῃ*] Herodot. l. c. 4. *Εἰς τοὺς αὐτούς.* Anth. Pal. VII, 253. 5. *Εἰς τοὺς αὐτοὺς μετὰ Λεωνίδου πεσόντας* Ibid. VII, 251. 6. *Εἰς τοὺς αὐτούς.* Ibid. VII, 301. 7. *Εἰς τοὺς Κορινθίους τοὺς ἐν Σαλαμῖνι ἀποθανόντας.* Plutarch. de Herodoti malign. c. 39. Dio Chrysost. or. Cor. p. 459. 8. *Εἰς τὸ τῶν αὐτῶν ἐν Ἰσθμῷ κενοτάφιον.* Plutarch. l. c. Anth. Pal. VII, 250. 9. *Εἰς τοὺς Ἀθηναίους τοὺς ἐν Σαλαμῖνι ἀποθανόντας.* Schol. Aristid. p. 155. ed. Dindorf. 10. *Εἰς τοὺς Μεγαρεῖς τοὺς ἐν τῷ Περσικῷ πολέμῳ ἀποθανόντας.* Boeckh. corp. inscriptt. Græc. I num. 1051. 11. *Εἰς Ἀνακρέοντα τὸν Τήιον.* Anth. Pal. VII, 25. 12. *Εἰς Τιμοκρέοντα τὸν Ῥόδιον.* Athen. X p. 415 F. 13. *Ἀναθηματικὸν εἰς Ἁρμόδιον*

καὶ Ἀριστογείτονα Hephæstion. p. 14. 14. Thucydid. I, 132. Ὁ Παυσανίας ἐπὶ τὸν τρίποδά ποτε ἐν Δελφοῖς, ὃν ἀνέθεσαν οἱ Ἕλληνες ἀπὸ τῶν Μήδων ἀκροθίνιον, ἠξίωσεν ἐπιγράψασθαι αὐτὸς ἰδίᾳ τὸ ἐλεγεῖον τόδε· Ἑλλάνων κτλ. 15. Ἐπὶ τόξοις ἀνατεθεῖσιν ἐν τῷ τῆς Ἀθηνᾶς ναῷ. Anth. Pal. VI, 2. 16. Anth. Pal. VI, 213. 17. Rhett. Græc. V p. 543 ed. Walz.

XXXVII. ÆSCHYLVS. tragœdiarum poeta, floruit inde ab Olymp. 70, 2 (499 a. Chr.) 1. Εἰς προμάχους Θεσσαλῶν. Anth. Pal. VII, 255. 2. Vid. Βίος Αἰσχύλου.

XXXVIII. PINDARVS. cf. ad num. LVIII. Εἰς Ἡσίοδον. Proclus Diad. ad Hesiod. p. 7. ed. Gaisford.

XXXVIIII. BACCHYLIDES. cf. ad num LVIIII. 1. Anth. Pal. VI, 313. 2. Ἀνάθημα τῷ Ζεφύρῳ ἀνέμῳ παρὰ Εὐδήμου γεωργοῦ. Ibid. VI, 53.

XXXX. EVRIPIDES. cf. ad num. XVI. Athen. II. p. 61 B. Ἐπαρχίδης Εὐριπίδην φησὶ τὸν ποιητὴν ἐπιδημῆσαι τῇ Ἰκάρῳ, καὶ γυναικός τινος μετὰ τέκνων κατὰ τοὺς ἀγρούς, δύο μὲν ἀῤῥένων τελείων, μιᾶς δὲ παρθένου, φαγούσης θανασίμους μύκητας καὶ ἀποπνιγείσης μετὰ τῶν τέκνων ποιῆσαι τουτὶ τὸ ἐπίγραμμα· Ὦ τὸν ἀγήραντον κτλ.

XXXXI. EVENVS. cf. ad num. XIIII. 1. Anth. Pal. VIIII, 717. 2. ibid. VIIII, 718. 3. ibid. VIIII, 62. 4. ibid. VIIII, 75.

XXXXII. THVCYDIDES natus Olymp. 77, 2 (471 a. Chr.). Anth. Pal. VII, 45.

XXXXIII. PLATO epigrammatographus vix idem fuit qui philosophus. 1. Anth. Planud. IIII, 160. 2. Thomas Mag. vit. Arist. p. XIIII. 3. Diogen. Laert. III, 33.

XXXXIIII. SPEVSIPPVS Platonis in academia successor Olymp. 108, 2 (347 a. Chr.) Anth. Planud. III, 31.

XXXXV. THEOCRITVS. cf. ad num. XXV. Anth. Pal. VI, 340.

XXXXVI. ALEXANDER. cf. ad num. XXVI. Anth. Pal. VII, 709.

XXXXVII. CALLIMACHVS. cf. ad num. XXVII. 1. Anth. Pal. XII, 102. 2. ibid. VII, 272. 3. ibid. VII, 517. 4. Athen. VII p. 318 B.

XXXXVIII. ASCLEPIADES Samius floruit ætate Ptolemæorum. cf. F. Iacobs. catalog. poetarum epigramm. p. 864. — 1. Anth. Pal. VIIII, 64. 2. ibid. VIIII, 63. 3. ibid. XII, 50.

XXXXVIIII. LEONIDAS Tarentinus floruisse videtur Pyrrhi ætate circa Olymp. 125 (276 a. Chr.) cf. Iacobs. l. c. p. 908 sqq. 1. Anth. Pal. VIIII, 24. 2. ibid. VII, 440. — Epigramma incertum Anth. Planud. IIII, 292.

ΜΕΛΗ.

L. ALCMAN floruit Olymp. 27, 2 (671 a. Chr.) cf. Alcmanis fragmenta ed. F. T. Welcker. Gisæ 1815. — Fragm. 1. Hephæstion. enchirid. p. 40 ed. Gaisford. 2. Athen. XI p. 499 A. 3. Antigon. Caryst. c. 27. 4. Athen. X p. 416 D. 5. Apollon. Lex. Hom. p. 101, 22. ed. Bekker.

LI. ARION floruit Olymp. 29 (664 a. Chr.) Ælianus N. A. XII, 45 ei adscribit hymnum, qui tamen an genuinus sit dubitatur. cf. Hermann. ad Aristot. poet. p. 235.

LII. ALCÆVS floruit Olymp. 42, 2 (611 a. Chr.) Vid. Clinton. fast. Hell. I p. 216 sq. Alcæi reliqq. coll. A. Matthiæ. Lipsiæ 1827. Fragm. 1. Heraclid. Pont. Aleg. Hom. p. 13. cf. Horat. Od. I, 14. 2. Athen. X p. 430 A. 3. ibid. p. 430 B. 4. ibid. XIIII p. 627 A. B. 5. ibid. X p. 430 C. D.

LIII. SAPPHO Alcæi æqualis. cf. Sapphonis fragmenta ed. C. F. Neue. Berolini 1827. G. Hermanni opusc. VI p. 102 sqq. Carm. 1. Dionys. Hal. de comp. verb. c. 23. 2. Longin. de subl. c. 10. 3. Stobæi florileg. IIII, 12. 4. Aristot. Rhet. I, 9.

LIIII. STESICHORVS Alcæi et Sapphonis æqualis. Vid. Stesichori fragmenta coll. O. F. Kleine. Berolini 1828.

Fragm. 1. Athen. XI p. 469 E. 2. ibid. III p. 81 D. 3. Schol. ad Euripid. Orest. 243. 4. Platon. Phædr. p. 243 A.

LV. IBYCVS floruit Olymp. 59 (544 a. Chr.). Vid. Ibyci carminum reliqq. ed. F. G. Schneidewin. Gottingæ 1833. cf. G. Hermann. in Iahnii annall. phil. Vol. VIII, p. 371 sqq. — Fragm. 1. Athen. XIII p. 601 B. 2. Platon. Parmenid. p. 137 A. 3. Athen. XIII p. 564 F. 4. ibid. II p. 57 F. 5. Schol. ad Pindar. Nem. 1, 1.

LVI. ANACREON. cf. ad num. VII. Fragm. 1. Schol. ad Hephæstion. Enchir. p. 125. ed. Gaisford. 2. Dio Chrysost. or. II p. 31. 3. Athen. XIII p. 564 D. 4. Strabon. III p. 151. Athen. XIII p. 599 C. 6. Hephæstion. Enchirid. p. 59 ed. Gaisford. 7. Athen. XII p. 533 E. 8. Stobæi floríleg. CXVIII, 13. 9. Athen. XI p. 782 A. 10. ibid. X p. 427 A. 11. Clemens Alex. p. 745. 12. Heraclid. Aleg. Hom. p. 16. 13. — Anacreontea ed. F. Mehlhorn. Glogaviae 1825 et Lipsiae 1827. Cf. F. Th. Welcker. in Museo Rhen. 1835. p. 160 sqq.

LVII. SIMONIDES. cf. ad num. XII. Fragm. 1. Diodor. Sic. XI, 11. 2a. Diogen. Laert. I, 6, 2. 2b. Plato Protag. p. 339 sq. 3. Clemens Alex. Strom. p. 211. 4. Dionys. Hal. Comp. verb. 26.

LVIII. PINDARVS, natus Olymp. 65, 3 (518 a. Chr.) defunctus Olymp. 85, 2 (439). Vid. Pindari opera quæ supersunt ed. A. Bœckh. Lipsiæ 1811—22. ed. F. Thiersch. ibid. 1820. ed. L. Dissen. Gothæ 1830. Cf. G. Hermann. Opusc. VI p. 3 sqq.

LVIIII. BACCHYLIDES Pindari æmulus. Vid. Bacchylidis fragmenta coll. C. F. Neue. Berolini 1823. Fragm. 1. Stobæi florileg. LV, 3. 2. ibid. CVIII, 26. 3. Athen. II p. 39 F. 4. Stobæi florileg. CIII, 2. 5. Clemens Alex. p. 731. cf. Bœckh. ad Pindari fragm. p. 626.

LX. ARISTOTELES. cf. ad num. XX. Athen. XV p. 696 B. Diogen. Laert. V, 5.

LXI. ARIPHRONIS (cuius ætas incerta) pæanem εἰς Ὑγίειαν servavit Athenæus XV p. 702 A. cf. Bœckh. corp. inscriptt. Græc. I p. 478.

LXII. MELINNO floruit haud dubie Romanorum imperio altius iam evecto. cf. Welcker. in Creuzeri Melet. II p. 18 sqq. Eius carmen εἰς Ῥώμην servavit Stobæus florileg. VII, 13.

LXIII. MESOMEDES floruit imperatore Hadriano. cf. Iacobsii catalog. poetarum epigramm. p. 917. Eius hymnum εἰς Νέμεσιν recepit Brunckius in Analect. II p. 292. Post versum 11 eiecimus: νεύεις δ' ὑπὸ κόλπον ἀεὶ κάτω ὀφρύν, ut stropharum ratio in integrum restitueretur. Versus extremos, quippe aliunde huc invectos, obelo notavimus auctore C. F. Webero, collega amicissimo, cuius ingenio debemus etiam coniecturam v. 19 pro inepta librorum scriptura Νεμέσεως ἀφαιρεῖς κ. Τ.

LXIIII. DIONYSIVS, fortasse Halicarnassensis, qui vixit eodem imperatore Hadriano. Cf. Iacobsii cat. poetarum epigr. p. 885 sq. Eius hymnum εἰς Ἀπόλλωνα vid. in Brunckii Analect. II p. 253.

ΣΚΟΛΙΑ.

Carmina convivalia Græcorum ed. C. D. Ilgen. Ienæ 1798.

LXV. PITTACVS, unus ex septem illis Græciæ sapientibus, Mytilenarum imperium tenuit Olymp. 47, 4 (589 a. Chr.) cf. Clinton. Fast. Hell. I p. 226. Eius scolium servavit Diogen. Laert. I, 78.

LXVI. BIAS, Pittaci æqualis, nondum excesserat Olympiade 59 (544 a. Chr.) Vid. Clinton. Fast. Hell. I p. 229. II p. 9 ed. Krüger. Diogen. Laert. I, 85.

LXVII. SOLO. cf. num. VI. Diogen. Laert. I, 61.

LXVIII. SIMONIDES. cf. num. XII. Clemens Alex. Strom. p. 375. cf. Ilgen. l. c. p. 26.

LXVIIII. TIMOCREON, poeta lyricus, floruit Themistoclis tempore. Clinton. II p. 39. Schol. ad Aristoph. Acharn. 532. Ran. 1337.

LXX. CALLISTRATVS quo tempore vixerit incompertum habemus. cf. Ilgen. l. c. p. 60. Athen. XV p. 695 A.

LXXI. HYBRIÆ scolion exstat apud Athen. XV p. 695 F.

ΑΔΕΣΠΟΤΑ 8—18. Athen. XV p. 694 E. sq.

ΧΕΛΙΔΟΝΙΣΜΑ. Athen. VIII p. 360 C.

ΕΙΔΥΛΛΙΑ.

THEOCRITVS (cf. ad num. XXV.) BIO et MOSCHVS æquales fuerunt. Præter Valckenarii, Wüstemanni aliorumque editiones imprimis sequutus sum Meinekii recensionem Berolini 1836 vulgatam. Cf. G. Hermanni opusc. V p. 78 sqq. Idem in Zimmermanni diario philolog. a. 1837 num. 27 sq.